τοῖς ἐσχάτοις εἷς κλῆρος (int. ἔστω). — Cum v. ἕκαστος est *unusquisque; singuli.* Pol. X. 596. C: ὃς πάντα ποιεῖ, ὅσαπερ εἷς ἕκαστος τῶν χειροτεχνῶν. 598. C. VI. 491. B. ἓν ἕκαστον ὧν ἐπῃνέσαμεν. IV. 441. C: ἐν ἑνὸς ἑκάστου ψυχῇ. IX. 580. D. Soph. 253. D: ἑνὸς ἑκάστου κειμένου χωρίς. Phil. 18. C: μέχρι ἑνὸς ἑκάστου. Pol. IV. 432. B: καὶ ἐν πόλει καὶ ἐν ἑνὶ ἑκάστῳ. IX. 578. D. Prot. 332. C: οὐκοῦν ... ἑνὶ ἑκάστῳ τῶν ἐναντίων ἓν μόνον ἐστὶν ἐναντίον καὶ οὐ πολλά; Phil. 18. C: ἑνί τε ἑκάστῳ καὶ ξύμπασι. Pol. IV. 433. A: ὅτι ἕνα ἕκαστον ἓν δέοι ἐπιτηδεύειν τῶν περὶ τὴν πόλιν. V. 453. B: δεῖν κατὰ φύσιν ἕκαστον ἕνα ἓν τὸ αὑτοῦ πράττειν. Phil. 16. E: τὸ ἓν ἕκαστον τῶν πάντων. — Cum v. μόνος (ut Lat. *unus solus*). Gorg. 475. E: ἐμοὶ δὲ σὺ ἐξαρκεῖς εἷς ὢν μόνος. Alc. I. 131. E: Ἀλκιβιάδη ... ἐραστὴς οὔτ' ἔστιν ἀλλ' ἢ εἷς μόνος. Conv. 184. C: οὕτω ... ἄλλη μία μόνη (plures codd. μόνον) δουλεία ἑκούσιος λείπεται cet. Pol. VIII. 548. C: διαφανέστατον δ' ἐν αὐτῇ ἐστὶν ἕν τι μόνον. Tim. 54. C. Prot. 360. E: ἕν γ' ... μόνον ἐρόμενος ἔτι σε, εἴ σοι cet. Phaedr. 275. D: ἕν τι σημαίνει μόνον ταὐτὸν ἀεί. Hipp. min. 372. B: καὶ κινδυνεύω ἓν μόνον ἔχειν τοῦτο ἀγαθόν. Etiam εἷς per se est i. q. εἷς μόνος (vern. *der einzige*). Tim. 36. D: μίαν γὰρ αὐτὴν ἄσχιστον εἴασε. — Εἷς τις (ut Lat. *unus aliquis*), saepius interiecta part. γέ (*certe*). Soph. 235. B: τὸ μὴ οὐ τοῦ (v. ἐκ τοῦ) γένους εἶναι ... τις εἷς. Legg. XII. 959. E: ἁπάντων νομοφύλαξ εἷς γέ τις ἐπιστατεῖ. Crat. 387. B: ἆρ' οὖν οὐ καὶ τὸ λέγειν μία τις τῶν πράξεών ἐστιν; Prot. 324. D: πότερον ἔστι τι ἕν, ἢ οὐκ ἔστιν —; Soph. 252. D: καὶ μὴν ἕν γέ τι τούτων ἀναγκαῖον, ἢ cet. Pol. IV. 420. B: ὅπως ἕν τι ἡμῖν ἔθνος ἔσται διαφερόντως εὔδαιμον. Polit. 267. D: μιᾶς τινος ἀγέλης ἐπιμέλεια; 287. D: ὡς ἔστιν ἑνός γέ τινος ὄργανον. Parm. 145. D: ἔν τινι γὰρ ἑνὶ μὴ ὂν οὐκ ἂν ἔτι που δύναιτο ἔν γε ἅπασιν εἶναι. Gorg. 471. E: (ἐπειδὰν) ὁ ... τἀναντία λέγων ἕνα τινὰ παρέχηται ἢ μηδένα. Pol. VIII. 565. C: οὐκοῦν ἕνα τινὰ ἀεὶ ὁ δῆμος εἴωθε ... προΐστασθαι ἑαυτοῦ —; Theaet. 203. C: μίαν τινὰ ἰδέαν γεγονυῖαν. Phaedr. 263. D: ὑπολαβεῖν τὸν Ἔρωτα ἕν τι τῶν ὄντων. Phaed. 85. C: δεῖν γὰρ περὶ αὐτὰ ἕν γέ τι τούτων διαπράξασθαι. Theaet. 206. C: τριῶν γὰρ ἕν τί μοι δοκεῖ λέγειν. Soph. 237. D: τόν τι λέγοντα ἕν γέ τι λέγειν. Pol. V. 478. B: ἀλλ' ἕν γέ τι δοξάζει ὁ δοξάζων; Hinc ἑνί γέ τῳ τρόπῳ (pr. *una certe aliqua ratione*, h. e. *quacunque ratione*). Phaedr. 242. B: ἤτοι αὐτὸν λέγοντα ἢ ἄλλους ἑνί γέ τῳ τρόπῳ προσαναγκάζοντα. Men. 96. D: ὅστις ἡμᾶς ἑνί γέ τῳ τρόπῳ βελτίους ποιήσει. — Cum praep. ἀντί: ἓν ἀνθ' ἑνός (p. 189.), ἐπί (Soph. 229. B: ἓν ἐφ' ἑνὶ γένει τῶν αὐτῆς ἑκατέρῳ. Legg. VI. 758. B: τὸ ... δωδέκατον μέρος αὐτῶν ἐπὶ δώδεκα μῆνας νείμαντας ἓν ἐφ' ἑνί.), κατά (ut καθ' ἕν,

singulatim. Soph. 217. A: *καθ' ἓν ὄνομα ... ἑκάστῳ προςῆπτον.* Legg. IX. 853. A: *καθ' ἓν ἕκαστον ... λεγόμενον.* Tim. 56. C. *Καθ' ἕνα* est etiam *coniunctim.* Legg. IV. 708. D. V. 739. D.), *πρός*: Legg. I. 626. C: *ἀνδρὶ ἑνὶ πρὸς ἕνα.* Hinc *ἓν πρὸς ἕν* (ubi *πρός* est *ad*, vern. *gegen*, h. e. *in Vergleichung mit*): Legg. I. 647. B: *τὴν ἐν τῷ πολέμῳ νίκην ... ἓν πρὸς ἓν οὐδὲν οὕτω σφόδρα ἡμῖν ἀπεργάζεται.* V. 738. E: *δεῖ δὴ πάντα ἄνδρα ἓν πρὸς ἓν* (*prae ceteris, ante omnia*) *τοῦτο σπεύδειν ... ὅπως* cet. Epin. 967. E: *μία ... πρὸς μίαν ἢ τὸν ἀριθμὸν δοῦσα ... τοῦτ' ἂν δράσειε.* — Cum vv. *οὐδείς* et *μηδείς*: Legg. V. 747. B: *ἓν οὐδὲν ... παίδειον μάθημα.* Theaet. 182. B: *ἓν μηδὲν αὐτὸ καθ' αὑτὸ εἶναι.*

εἰςαγγελία, ἡ, accusatio. Pol. VIII. 565. C: *εἰςαγγελίαι δὴ καὶ κρίσεις ... γίγνονται.*

εἰςαγγέλλω, nuntio, renuntio, indico. Legg. X. 910: *εἰςαγγελλέτω τοῖς νομοφύλαξιν.* Ep. XIII. 362. C: *εἰςαγγέλλειν.* Prot. 314. E: *εἰςάγγειλον οὖν* Pol. VII. 524. B: *ἕκαστα τῶν εἰςαγγελλομένων.* Legg. VI. 763. E: *ἐὰν εἰςαγγελθῇ πρὸς τοὺς ἄρχοντας.*

εἰςάγγελσις, ἡ, nuntiatio. Def. 414. C: *ψυχῆς διὰ σώματος εἰςάγγελσις.*

εἰςάγω, introduco, induco. Pol. II. 381. D: *μηδ' ἐν τραγῳδίαις ... εἰςαγέτω Ἥραν* cet. Riv. 136. C: *τὸν φιλόσοφον εἰςάγοις ἂν εἰς τὴν οἰκίαν —;* Legg. VIII. 838. C: *ὅταν ... Θυέστας ... εἰςάγωσιν.* Ep. I. 309. D. Pol. III. 389. D: *ὡς ἐπιτήδευμα εἰςάγοντα.* Conv. 175. A: *οὐ σκέψει ... καὶ εἰςάξεις Σωκράτη;* Med. Legg. VII. 817. C: *καλλιφώνους ὑποκριτὰς εἰςαγαγομένους.* **importo, inveho.* Pol. II. 371. A: *τῶν τε εἰςαξόντων καὶ ἐξαξόντων ἕκαστα.* Legg. VIII. 847. B: *μήτ' εἰςαγομένων* (*χρημάτων*). **profero, adhibeo.* Crat. 409. D: *ἣν προςάγω μηχανὴν ἐπὶ πάντα* cet. Apol. 35. B: *τοῦ τὰ ἐλεεινὰ ταῦτα δράματα εἰςάγοντος.* **adduco* vel *voco in iudicium, actionem instituo.* Apol. 24. D: *ἐμὲ εἰςάγεις τουτοισί.* 25. C: *περὶ ὧν ἐμὲ εἰςάγεις.* D. 26. A. Ep. VII. 325. B: *εἰςάγουσιν εἰς δικαστήριον.* Legg. XII. 946. D: *εἰς τοὺς ἐκλεκτοὺς δικαστὰς εἰςαγέτω τοὺς εὐθύνους.* IX. 871. D: *τὰς δίκας εἰςαγόντων ταύτας.* XI. 932. C: *εἰς δικαστήριον εἰςαγόντων αὐτούς.* XII. 955. C. 958. C. Apol. 29. A: *τότ' ἂν με δικαίως εἰςάγοι τις εἰς δικαστήριον.* Legg. XII. 952. D: *ἐὰν ... μηδεὶς εἰςάγῃ.* Polit. 299. A: *εἰς τούτους εἰςάγειν τοὺς ἄρξαντας καὶ εὐθύνειν.* C. Legg. XII. 943. A. Apol. 26. A. Gorg. 521. D: *πονηρός τίς με ἔσται ὁ εἰςάγων.* Legg. XI. 926. D. Ep. VII. 325. C: *ὡς ἀσεβῆ γὰρ οἱ μὲν εἰςήγαγον.* Legg. X. 907. E: *τῶν ... ἀρχόντων οἱ πρῶτοι ... πρὸς τὸ ... δικαστήριον εἰςαγαγόντων.* Tim. 27. B: *εἰςαγαγόντα αὐτοὺς ὡς εἰς δικαστὰς ὑμᾶς* (v. *ἡμᾶς*). Legg. X. 910:

εἰς τὸ δικαστήριον ... εἰςαγαγόντες. Gorg. 521. C: *εἰςαχθεὶς εἰς δικαστήριον.* Id. Legg. XI. 915. C.

εἰςαγωγεύς, ὁ, *qui inducit.* Legg. VI. 765. A: *ἱκανὸς δὲ καὶ περὶ μονῳδίαν εἰς ... εἰςαγωγεύς τε εἶναι* cet.

εἰςαγωγή, ἡ, *invectio.* Legg. VIII. 847. D: *τούτων ... εἰςαγωγῆς τε καὶ ἐξαγωγῆς.* Ponitur quoque in magistratu actionem dante vel admittente. Legg. IX. 871. C: *τίς ὁ τρόπος τῶν τοιούτων δικῶν τῆς εἰςαγωγῆς.* 855. D: *εἰςαγωγὰς δὲ τούτων καὶ προςκλήσεις* cet.

εἰςαγώγιμος, ὁ ἡ, *importandus, introducendus.* Legg. VIII. 847. D: *ἐάν τινος ἢ τέχνης εἰςαγωγίμου δέῃ γίγνεσθαι* cet. C: *ἢ περί τινα ἄλλην τέχνην δεομένην ξενικῶν τινῶν εἰςαγωγίμων.*

εἰςακούω, *audio.* Pol. VI. 494. D: *ἆρ' εὐπετὲς οἴει εἶναι εἰςακοῦσαι —;* Epin. 989. E: (*κατὰ*) *τὴν* (*δύναμιν*) *τῶν δυναμένων εἰςακοῦσαι.*

εἰςαναγκάζω, *cogo.* Tim. 49. A: *νῦν δὲ ὁ λόγος ἔοικεν εἰςαναγκάζειν ... ἐπιχειρεῖν* cet.

εἰςάπαξ (scrib. *εἰς ἅπαξ* cum Cl.), *semel.* Soph. 247. E: *κἂν εἰ μόνον εἰς ἅπαξ.*

εἰςαῦθις (rectius *εἰς αὖθις*, ut libri MSS. optimi pluribus locis et edd. quoque Legg. IX. 862. D. et 888. D. habent. Vid. Annott. in Gorg. p. 8.), *alias* (vern. *ein andermal*). Prot. 347. B: *εἰς αὖθίς γε.* 357. B: *εἰς αὖθις σκεψόμεθα.* 361. E: *καὶ περὶ τούτων δὲ εἰς αὖθις ... διέξιμεν.* Gorg. 447. B: *ὥστ' ἐπιδείξεται ἡμῖν, εἰ μὲν δοκεῖ, νῦν, ἐὰν δὲ βούλῃ, εἰς αὖθις* (Cl. *ἐς αὖθις*). C. Phaed. 115. A: *ὑμεῖς ... εἰς αὖθις ἔν τινι χρόνῳ ἕκαστοι πορεύσεσθε.* Polit. 257. B: *καὶ σὲ ... εἰς αὖθις μέτειμι.* Phil. 33. B: *ἔτι καὶ εἰς αὖθις.* Conv. 213. D. Pol. V. 466. A. **in aliud tempus.* Phaedr. 254. D: *δεομένων εἰς αὖθις ὑπερβαλέσθαι.* Gorg. 449. B: *εἰς αὖθις ἀποθέσθαι.* Conv. 174. E: *εἰς αὖθις ἀναβαλοῦ.* **posthac, in posterum.* Polit. 262. A: *μὴ μέντοι τοῦτό γε εἰς αὖθις κατὰ δύναμιν πάσχωμεν.* 286. C. 299. E: (*ὅτι*) *οὐδὲ εἰς αὖθις γένοιντ' ἄν ποτε.* Tim. 38. A: *οὐδ' εἰς αὖθις ἔσεσθαι.* 68. D: *οὔτε ἔστι νῦν οὔτ' εἰς αὖθίς ποτ' ἔσται.* Legg. IX. 862. D. 888. D.

εἰςαφικνοῦμαι, *advenio.* Legg. VIII. 848. A: *ὅσοι ... εἰςαφικνοῦνται ἑκάστοτε.* **intro.* Men. 92. B: *αἱ πόλεις ἐῶσαι αὐτοὺς εἰςαφικνεῖσθαι.*

εἰςδανείζω, *mutuum do in aliquid.* Pol. VIII. 555. C: *ἵνα ὠνούμενοι τὰ τῶν τοιούτων καὶ εἰςδανείζοντες* (vern. *durch Darlehen darauf*) *ἔτι πλουσιώτεροι ... γίγνωνται.*

εἰςδέχομαι, *accipio, recipio, admitto.* Pol. VIII. 560. D: *οὔτε πρέσβεις ... λόγους ... εἰςδέχονται.* Crat. 421. D: *προφάσεις ... εἰςδέχεσθαι.* Tim. 52. A: *οὔτε εἰς ἑαυτὸ εἰςδεχόμενον ἄλλο ἄλλοθεν.* Pol. IV. 425. A: *ὅταν ... παῖδες ... διὰ τῆς μουσικῆς εἰςδέξωνται.*

εἴςειμι, *ingredior*, *intro.* Lys. 204. B: *ἐπὶ τῷ καὶ εἴςειμι.* Pol. III. 416. D: *εἰς ὃ οὐ πᾶς ὁ βουλόμενος εἴςεισι.* Legg. VIII. 833. A: *ὁ δ' εἴςεισιν ὅπλα ἔχων.* Prot. 314. C: *ἵν' … διαπεράμενοι οὕτως εἰςίοιμεν.* Gorg. 521. C: *ἐάνπερ εἰςίω εἰς δικαστήριον.* Conv. 213. A: *ἐπὶ ῥητοῖς εἰςίω, ἢ μή;* Phaed. 179. D: *ζῶν εἰςιέναι εἰς Ἅιδου.* Conv. 175. A: *οὐκ ἐθέλει εἰςιέναι.* 196. A: *εἰςιὼν … λανθάνειν καὶ ἐξιών.* Tim. 79. B: *εἰς τὴν ἕδραν … εἰςιὸν ἐκεῖσε.* 84. D. 58. E: *ὑπὸ … πυρὸς εἰςιόντος* cet. 68. A. Pol. II. 360. B: *εἰςιόντι εἰς τὰς οἰκίας.* Legg. IX. 874. B: *εἰς οἰκίαν εἰςιόντα.* Charm. 154. A: *οὗτοι … οἱ εἰςιόντες.* Legg. VI. 784. C: *εἰςιοῦσαι … δ' εἰς τὰς οἰκίας τῶν νέων αἱ γυναῖκες.* Tim. 50. C: *τὰ … εἰςιόντα καὶ ἐξιόντα τῶν ὄντων ἀεὶ μιμήματα.* 61. B. Charm. 164. D: *πρόςρησις … τοῦ θεοῦ τῶν εἰςιόντων.* 165. A. Tim. 50. C: *ὑπὸ τῶν εἰςιόντων.* 66. C. 88. C. 66. A: *περιτεινόμενα τοῖς εἰςιοῦσιν.* Charm. 154. A: *ἰδὼν τινας νεανίσκους εἰςιόντας.* E. Conv. 175. A: *ἄρτι εἰςήει.* Charm. 154. C: *ἡνίκ' εἰςήει.* Phaed. 59. D: *εἰςῇμεν παρὰ τὸν Σωκράτη.* **prodeo.* Legg. II. 664. C: *ὁ Μουσῶν χορὸς … ὀρθότατ' ἂν εἰςίοι πρῶτος.* Apol. 17. C: *εἰς ὑμᾶς εἰςιέναι.* **incesso, subeo.* Legg. II. 671. C: *εἰςιόντι τῷ μὴ καλῷ θάῤῥει.* Phaed. 58. E: *οὔτε γὰρ … με ἀνδρὸς ἐπιτηδείου ἔλεος εἰςήει.* 59. A: *διὰ … ταῦτα οὐδὲν πάνυ μοι ἐλεεινὸν εἰςήει.* Pol. I. 330. D: *περὶ ὧν ἔμπροσθεν οὐκ εἰςήει.* Pol. I. 330. D: *περὶ ὧν ἔμπροσθεν οὐκ εἰςήει* (*δέος καὶ φροντίς*). **influo*, h. e. *obtingo.* Phaedr. 270. A: *τὸ … ὑψηλόνουν τοῦτο … ἔοικεν ἐντεῦθέν ποθεν εἰςιέναι.*

εἰςεπιδημῶ, *peregre venio.* Legg. XII. 952. D: *τὸν δ' εἰςεπιδημήσαντα μετὰ τοῦτον χρὴ φιλοφρονεῖσθαι.*

εἰςέρχομαι, *ingredior*, *intro*; *accedo*; *prodeo.* Prot. 321. E: *εἰς … τὸ … οἴκημα … λαθὼν εἰςέρχεται.* Tim. 75. E: *ὅσον εἰςέρχεται τροφὴν διδὸν τῷ σώματι.* Alc. I. 122. E: *εἰςέρχεται … οὐτόσε ἐξ ἁπάντων τῶν Ἑλλήνων.* Charm. 154. B. Euthyd. 273. A: *εἰςέρχεσθον τούτω.* Ep. VII. 349. D: *ὅτι παρὰ Θεοδότην εἴην εἰςεληλυθώς.* Pol. IX. 575. A: *τὸν … ἔξωθεν εἰςεληλυθότα ὑπὸ κακῆς ὁμιλίας.* Prot. 316. A: *καὶ ἡμεῖς μὲν ἄρτι εἰςεληλύθειμεν.* Charm. 153. A: *εἰς τὴν … παλαίστραν … εἰςῆλθον.* Riv. init. Prot. 314. E: *ἐπειδὴ δὲ εἰςήλθομεν.* 316. A: *ὡς εἰςήλθομεν.* Pol. IX. 580. B: *καθάπερ … εἰςῆλθον* (tanquam in scenam). Hipp. mai. 304. D: *ἐπειδὰν … εἰςέλθω οἴκαδε εἰς ἐμαυτοῦ.* Lys. 206. C: *ἂν … εἰςέλθῃς.* Prot. 321. D: *εἰς τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν … εἰςελθεῖν.* Conv. 214. B: *πρὶν σὲ εἰςελθεῖν.* Tim. 79. B. Gorg. 456. B: *εἰςελθὼν παρά τινα τῶν καμνόντων.* Conv. 203. B: *εἰς τὸν τοῦ Διὸς κῆπον εἰςελθών.* Tim. 78. E: *διὰ τῆς κοιλίας εἰςελθόν.* Conv. 176. E: *τὴν … ἄρτι εἰςελθοῦσαν*

αὐλητρίδα. Lys. 206. E: εἰςελθόντες. Euthyd. 273. A. (v. εἰςελθόντε). Pol. IX. 576. D: ὡς χρὴ ὅλην τὴν πόλιν εἰςελθόντας θεάσασθαι. *in reo dicitur *qui iudicium obit* vel *se sistit.* Apol. 29. C: ἐπειδὴ εἰςῆλθον. Crit. 45. E: ὡς εἰςῆλθες. Apol. 29. C: οὐ δεῖν ἐμὲ δεῦρο εἰςελθεῖν. Crit. 45. E: ἐξὸν μὴ εἰςελθεῖν. Gorg. 522. B: εἰςελθὼν εἰς δικαστήριον. **incesso, subeo* (c. dat. et acc.). Pol. I. 330. D: εἰςέρχεταί αὐτῷ δέος καὶ φροντὶς περὶ ὧν cet. Legg. VIII. 838. B: ἀλλ' οὐδ' ἐπιθυμία ταύτης τῆς συνουσίας τὸ παράπαν εἰςέρχεται τοὺς πολλούς. 835. D: εἰςῆλθε δή με ... φοβηθῆναι. Lys. 218. C: οὐκ οἶδ' ὁπόθεν μοι ... ὑποψία εἰςῆλθεν. Ut Lat. *subire*, etiam in eo ponitur quod in mentem venit. Theaet. 147. C: οἷον καὶ αὐτοῖς ἡμῖν ἔναγχος εἰςῆλθε διαλεγομένοις. D: ἡμῖν ... εἰςῆλθέ τι τοιοῦτον.

εἰςηγοῦμαι, *induco, suadeo, commendo*; etiam *auctor sum.* Conv. 176. E: εἰςηγοῦμαι τὴν ... αὐλητρίδα χαίρειν ἐᾶν. Crit. 48. A: ὥστε ... ταύτῃ οὐκ ὀρθῶς εἰςηγεῖ, εἰςηγούμενος cet. Legg. III. 684. E: γῆς ... ἀναδασμοὺς εἰςηγούμενον. Lach. 179. D: εἰςηγήσατο οὖν τις ἡμῖν καὶ τοῦτο τὸ μάθημα. Conv. 176. E: καὶ δι' οἵων λόγων ... ἐθέλω ὑμῖν εἰςηγήσασθαι. **praeeo, ostendo.* Eryx. 395. E: ἐπειδὴ εἰςηγεῖ τὸν λόγον. Conv. 189. D: ἐγὼ οὖν πειράσομαι ὑμῖν εἰςηγήσασθαι τὴν δύναμιν αὐτοῦ, ὑμεῖς δὲ τῶν ἄλλων διδάσκαλοι ἔσεσθε. *ut Lat. *induco*, etiam est *memoro, narro.* Tim. 20. D: ὅδ' (ὁ δ'?) οὖν ἡμῖν λόγον εἰςηγήσατο ἐκ παλαιᾶς ἀκοῆς.

εἰςιδεῖν, *videre.* Gorg. 526. C: ἐνίοτε δ' ἄλλην εἰςιδὼν ὁσίως βεβιωκυῖαν (ψυχήν).

εἴςοδος, ἡ, *introitus.* Tim. 61. A: εἴςοδος ... οὐδενὶ πλὴν πυρὶ λέλειπται. Euthyd. 273. B: ἀπὸ τῆς εἰςόδου μόνον καθήμενον. Pol. VII. 514. A: ἀναπεπταμένην πρὸς τὸ φῶς τὴν εἴςοδον ἐχούσῃ. Tim. 61. B: εἴςοδον οὐκ ἔχοντα. 75. D. 78. B: κατὰ τὴν εἴςοδον. **introitus*, tanquam fabulae (i. q. πρότασις), ad causam transfertur apud iudices agendam. Crit. 45. E: ἡ εἴςοδος τῆς δίκης εἰς τὸ δικαστήριον.

εἰςοικίζω, *in domum recipio*; med. *immigro, subrepo.* Pol. IV. 424. D: κατὰ σμικρὸν εἰςοικισαμένη (ἡ παρανομία).

εἰςπέμπω, *immitto.* Legg. II. 671. D: φόβον εἰςπέμπειν. **intromitto.* Euthyd. 305. B: ἢ τῶν τοὺς τοιούτους (int. ῥήτορας) εἰςπεμπόντων.

εἰςπίπτω, *incido.* Lys. 222. D: πάλιν ... εἰς τούτους (τοὺς λόγους) εἰςπεπτώκαμεν (v. πεπτώκαμεν). **irrumpo.* Legg. VII. 814. A: ἔξωθεν πολεμίους εἰςπεσόντας.

εἰςπλέω, *invehor.* Critia 115. D: στόμα ναυσὶ ταῖς μεγίσταις ἱκανὸν εἰςπλεῖν.

εἴςπλους, ὁ, *introitus.* Tim. 25. A: λιμήν στενόν τινα ἔχων εἴςπλουν (v. εἴςπλουν ἔχων).

εἰςποιῶ, adopto. Legg. IX. 878. A: *υἱὸν ὡς ἐκείνων εἰςποιοῦντας.*

εἰςπράττω, exigo. Legg. XII. 949. D: *οἷς ἂν πόλις ... εἰςπράττειν προςτάττῃ.*

εἰςρέω, influo. Phaed. 112. C: *κατ᾽ ἐκεῖνα τὰ ῥεύματα ... εἰςρεῖ (τὸ ὕδωρ).* D: *πάντα δὲ ὑποκάτω εἰςρεῖ τῆς ἐκροῆς.* A: *εἰςρεῖν πάντα τὰ ῥεύματα.* Phil. 62. C: *ἀφῶ πάσας τὰς ἐπιστήμας εἰςρεῖν —;* Ut Lat. *influo*, est *nascor, exsisto.* Phaedr. 262. B: *ὡς τὸ πάθος τοῦτο δι᾽ ὁμοιοτήτων τινῶν εἰςεῤῥύη.*

εἰςτελῶ, in numerum refero, recipio. Polit. 290. E: *εἰς τοῦτο εἰςτελεῖσθαι αὐτὸν τὸ γένος.*

εἰςύστερον (rectius *εἰς ὕστερον*), *postea.* Soph. 247. E: *ἴσως εἰς ὕστερον* (sic Zitt.) *ἡμῖν ... ἕτερον ἂν φανείη.*

εἰςφέρω, induco, adduco. Legg. XII. 961. B: *τὸν νέον ... εἰς τοὺς ἄλλους εἰςφέρειν.* III. 695. D: *ἰσότητά τινα κοινὴν εἰςφέρων.* VII. 797. B: *τόν τι νέον ἀεὶ καινοτομοῦντα καὶ εἰςφέροντα.* **confero* (ut pecuniam al.). Pol. I. 343. D: *ὁ ... δίκαιος ἀπὸ τῶν ἴσων πλέον εἰςφέρει.* VIII. 551. E: *χρήματα μὴ ἐθέλειν εἰςφέρειν.* 568. D: *ἐλάττους εἰςφορὰς ἀναγκάζων τὸν δῆμον εἰςφέρειν.* Legg. XI. 927. C: *ὡς ἔρανον εἰςφέροντα ἑαυτῷ* cet. Pol. VIII. 567. A: *χρήματα εἰςφέροντες.* Conv. 117. C: *τούτῳ ἔρανον εἰςενεγκεῖν.* Pol. I. 337. D: *πάντες γὰρ ἡμεῖς Σωκράτει εἰςοίσομεν.* **refero* (ut ad senatum al.). Legg. VI. 772. C: *αὐτὰς ἑκάστας τὰς ἀρχὰς εἰς τοὺς νομοφύλακας εἰςφερούσας.*

εἰςφορά, ἡ, pecuniae collatio, tributum. Legg. XII. 955. D: *χρημάτων εἰςφορᾶς πέρι τῷ κοινῷ.* Ib. *δυοῖν οὔσαιν ταῖν εἰςφοραῖν.* Pol. I. 343. D: *ὅταν τέ τινες εἰςφοραὶ ὦσιν ... ὅταν τε λήψεις.* Legg. V. 744. B. 738. A: *εἰςφορῶν τε πέρι καὶ διανομῶν.* XII. 949. D: *πολεμικῶν εἰςφορῶν εἵνεκα,* Ep. XIII. 361. B: *εἰςφορῶν τινῶν (ἕνεκα) εἰς τὴν πόλιν.* Pol. VIII. 568. D: *εἰςφορὰς ... εἰςφέρειν.*

εἴσω, intro, introrsum. Pol. II. 360. A: *στρέφοντι ... εἴσω τὴν σφενδονήν.* Tim. 78. D: *δύεσθαι εἴσω δι᾽ αὐτοῦ.* E. 79. C. Alc. I. 117. C: *πότερον χρὴ τὸν οἴακα εἴσω ἄγειν ἢ ἔξω.* II. 144. A: *παρελθὼν εἴσω.* 149. D: *οὐρανὸν εἴσω* (Hom.). Cum artic. Phaedr. 247. E: *δῦσα πάλιν εἰς τὸ εἴσω τοῦ οὐρανοῦ.* Crat. 427. C: *τοῦ ... νῦ τὸ εἴσω αἰσθόμενος τῆς φωνῆς.* Pol. II. 359. E: *εἰς τὸ εἴσω* (Par. D. *ἔσω*) *τῆς χειρός.* **intus.* Pol. III. 407. D: *τὰ ... εἴσω ... νενοσηκότα σώματα.*

εἶτα, ita, tum, deinde. Prot. 311. A: *εἶτα ἴωμεν.* Phaedr. 229. C: *εἶτα σοφιζόμενος φαίην* cet. Soph. 230. B: *εἶθ᾽ ἅτε πλανωμένων* cet. Pol. V. 462. A. VII. 528. D. VIII. 553. B. X. 613. E. Cum part. *καί* est *κᾆτα:*

Tim. 91. C. Legg. X. 905. B. Lys. 223. A. al. Phaedr. 251. A: πρῶτον ... εἶτα. Theaet. 194. D: καὶ εἰσὶν ... πρῶτον μὲν εὐμαθεῖς, ἔπειτα μνήμονες, εἶτα cet. Polit. 299. B: πρῶτον ... εἶθ' ὡς διαφθείροντα ἄλλους cet. Crat. 426. D: πρῶτον μὲν ... εἶτα ... εἶτα. Tim. 70. C. Legg. I. 640. E. al. Participio subiicitur εἶτα ita ut illud in modum finitum c. coniunctione *postquam*, *quum*, *ubi* vel *quanquam* solvi possit. Prot. 341. E: οὐ δήπου τοῦτό γε λέγων ... εἶτα τὸν θεόν φησι μόνον τοῦτο ἂν ἔχειν. Phaedr. 236. A: τίνα οἴει λέγοντα ὡς χρὴ ... παρέντα τοῦ μὲν τὸ φρόνιμον ἐγκωμιάζειν, τοῦ δὲ τὸ ἄφρον ψέγειν ... εἶτ' ἄλλ' ἄττα ἕξειν λέγειν; Phil. 13. C. Conv. 200. A: πότερον ἔχων αὐτὸ ... εἶτα ἐπιθυμεῖ ... ἢ οὐκ ἔχων; Pol. II. 359. C: δόντες ἐξουσίαν ἑκατέρῳ ... εἶτ' ἐπακολουθήσαιμεν θεώμενοι. Saepenumero est *itaque*, *ergo*. Parm. 132. C: εἶτα οὐκ εἶδος ἔσται τοῦτο τὸ νοούμενον ἓν εἶναι —; Alc. I. 109. E: εἶτα ζητῆσαι οὐκ ἂν οἴει με; Ib. εἶτα οὐκ ἦν ὅτε εἶχον οὕτως; 110. E. 116. E. Men. 71. C: εἶτα οὐκ ἐδόκει σοι εἰδέναι; 79. A: εἶτα ... παίζεις πρός με. Ita ponitur praec. in interrog., ubi mirandi atque etiam improbandi vel leniter increpandi vim habet (vern. *also*, et fortius illud *denn*). Prot. 309. A: εἶτα τί τοῦτο; (vern. *was macht denn dieses aus?*) Theaet. 148. E: εἶτα, ὦ καταγέλαστε, οὐκ ἀκήκοας ὡς ἐγώ εἰμι υἱὸς μαίας cet. 207. D: εἶτα ἀμνημονεῖς ... σαυτόν τε καὶ τοὺς ἄλλους δρῶντας αὐτά; Soph. 222. B: εἶτ' ἔστι τις θήρα τῶν ἡμέρων; Crat. 438. C: εἶτα ... ἐναντία ἂν ἐτίθετο αὐτὸς αὑτῷ ὁ θεός —; Pol. I. 338. D: εἶτ' οὐκ οἶσθ' ... ὅτι τῶν πόλεων αἱ μὲν τυραννοῦνται cet. Apol. 28. B: εἶτ' οὐκ αἰσχύνει ... τοιοῦτον ἐπιτήδευμα ἐπιτηδεύσας —; Crit. 43. A: εἶτα πῶς οὐκ εὐθὺς ἐπήγειράς με —; Euthyd. 287. B. 302. C. Legg. XII. 964. C. Hipp. mai. 290. A.

εἴτε, *sive*, *vel* (semel pos.). Soph. 217. D: κατ' ἐμαυτὸν εἴτε καὶ πρὸς ἕτερον. 224. E: καπηλικὸν εἴτε αὐτοπωλικόν. Parm. 135. A. Tim. 56. D: ὑπὸ πυρὸς μερισθὲν εἴτε καὶ ὑπ' ἀέρος. Legg. VIII. 844. D: βοτρύων εἴτε καὶ σύκων. IX. 864. A: πόλις εἴτε ἰδιῶταί τινες. X. 907. A: λόγοις εἴτ' ἔργοις. — Εἴτε - εἴτε, *sive* - *sive*. Pol. X. 597. B: εἴτε οὐκ ἐβούλετο εἴτε τις ἀνάγκη ἐπῆν cet. Phaedr. 237. A: εἴτε δι' ᾠδῆς εἶδος λίγειαι, εἴτε διὰ γένος μουσικὸν ... ταύτην ἔσχετε ἐπωνυμίαν. 257. D: εἴτε τίς φησιν εἴτε μή. Conv. 200. D. Theaet. 184. A. Polit. 299. E: εἴτε ἐπίπεδον εἴτε ἐν βάθεσιν εἴτε ἐν πάχεσιν (v. τάχεσιν) οὖσάν που. Parm. 143. C. Phil. 34. B: εἴτε αἰσθήσεως εἴτ' αὖ μαθήματος. Pol. I. 351. E. VI. 493. D: εἴτ' ἐν γραφικῇ εἴτ' ἐν μουσικῇ εἴτε δὴ ἐν πολιτικῇ. VII. 523. C. Tim. 21. B: εἴτε δὴ δοκοῦν αὐτῷ τότε εἴτε καὶ χάριν τινὰ τῷ Κριτίᾳ φέρων. Legg. VII. 808. A: εἴτ' οὖν νόμιμον εἴτ' ἐπιτήδευμα

τὸ τοιοῦτον καλεῖν ἐστὶ χρεών. IX. 882. A. Apol. 34. E: εἴτ' οὖν ἀληθὲς εἴτ' οὖν ψεῦδος. Pol. V. 471. B: εἴτε καὶ ἐν αὐτῇ τῇ τάξει εἴτε καὶ ὄπισθεν ἐπιτεταγμένον. — εἴτε ... εἰ δέ. Apol. 40. D: εἴτε δὴ μηδεμία αἴσθησίς ἐστιν, sq. E: εἰ δ' αὖ. — εἴτε ... ἤ. Phaedr. 277. D: εἴτε Λυσίας ἤ τις ἄλλος. Tim. 17. D: εἴτε τις ἔξωθεν ἢ καὶ τῶν ἔνδον ἴοι κακουργήσων. — εἴτε - ἐάν τε. Pol. II. 364. B: εἴτε τι ἀδίκημά του γέγονεν ... ἀκεῖσθαι ... ἐάν τέ τιν' (v. καὶ ἐάν τιν') ἐχθρὸν πημῆναι ἐθέλῃ cet. — *si - sin.* Theaet. 160. B: λείπεται ... εἴτ' ἐσμέν, εἶναι, εἴτε γιγνόμεθα, γίγνεσθαι. 184. A. Soph. 259. B. **utrum - an.* Phaedr. 230. A: σκοπῶ ... ἐμαυτόν, εἴτε τι θηρίον τυγχάνω ... εἴτε ἡμερώτερον ... ζῶον. 237. D: τὴν σκέψιν ποιώμεθα, εἴτε ὠφέλειαν εἴτε βλάβην παρέχει. 275. D: οὐ γὰρ ... σκοπεῖς, εἴθ' οὕτως εἴτε ἄλλως ἔχει. Theaet. 198. A: εἴτε τῶν αὐτῶν ... εἴθ' ἑτέρων. Soph. 243. A: οὐδὲν ... φροντίσαντες εἴτ' ἐπακολουθοῦμεν ... εἴτε ἀπολειπόμεθα. 261. D. Polit. 304. B. Pol. III. 394. D: εἴτε παραδεξόμεθα ... εἴτε καὶ οὔ. Men. 87. B: σκοπῶμεν εἴτε διδακτὸν εἴτε οὐ διδακτόν ἐστιν. Pol. X. 612. A: εἴτε πολυειδὴς εἴτε μονοειδὴς εἴτε ὅπῃ ἔχει καὶ ὅπως. Legg. XI. 938. B: εἴτε - ἤ.

εἴωθα, *soleo, consuevi.* Conv. 176. D: ἔγωγέ σοι εἴωθα πείθεσθαι. Apol. 17. C: δι' ὧνπερ εἴωθα λέγειν καὶ ἐν ἀγορᾷ cet. 29. D: λέγων οἷάπερ εἴωθα. Hipp. mai. 293. E. Soph. 217. C: πότερον εἴωθας ἥδιον ... διεξιέναι cet. Pol. VI. 487. E: σὺ ... οὐκ εἴωθας δι' εἰκόνων λέγειν. Crit. 50. C. Phaed. 73. D: οἷς τὰ παιδικὰ αὐτῶν εἴωθε χρῆσθαι. Polit. 292. A. Pol. VI. 493. B. VIII. 565. C. Legg. IV. 720. A. al. Pol. X. 596. A: εἶδος γάρ πού τι ἓν ἕκαστον εἰώθαμεν τίθεσθαι περὶ ἕκαστα τὰ πολλά. Phil. 45. B: ὁπόσα διὰ τοῦ σώματος εἰώθασι πάσχειν. Pol. V. 458. A. Legg. XI. 916. D. Crit. 53. D. al. Conv. 217. A: πρὸ τοῦ οὐκ εἰωθὼς ... μόνος μετ' αὐτοῦ γίγνεσθαι. Theaet. 174. E. Pol. I. 337. A: αὕτη ἐκείνη ἡ εἰωθυῖα εἰρωνεία Σωκράτους. Apol. 40. A: ἡ ... εἰωθυῖά μοι μαντικὴ ἡ τοῦ δαιμονίου. Phaedr. 242. B: τὸ εἰωθὸς σημεῖόν μοι γίγνεσθαι. Euthyd. 272. E. Theag. 129. B. Pol. II. 359. E: συλλόγου ... γενομένου τοῖς ποίμεσιν εἰωθότος. Soph. 266. C: τῆς ἔμπροσθεν εἰωθυίας ὄψεως ἐναντίαν αἴσθησιν παρέχον: Pol. III. 406. B: εἴ τι τῆς εἰωθυίας διαίτης ἐκβαίη. X. 596. A. Gorg. 501. A: μνήμην μόνον σωζομένη τοῦ εἰωθότος γίγνεσθαι. Apol. 27. B: ἐν τῷ εἰωθότι τρόπῳ. Polit. 273. A: εἰς ... τὸν εἰωθότα δρόμον τὸν ἑαυτοῦ κατακοσμούμενος ᾔει. 306. B. Pol. III. 406. E: εἰς τὴν εἰωθυῖαν δίαιταν ἐμβάς. 407. D. Phaedr. 238. C: παρὰ τὸ εἰωθός (*praeter consuetudinem*). Phaed. 59. E: ἥκειν ... εἰς τὸ εἰωθός. Pol. I. 337. E: ἵνα Σωκράτης τὸ εἰωθὸς διαπράξηται. Conv. 223. A: ταῦτα ἐκεῖνα ... τὰ εἰωθότα.

Phaedr. 265. A: *ὑπὸ θείας ἐξαλλαγῆς τῶν εἰωθότων νομίμων.* Polit. 295. D. Tim. 23. A: *δι' εἰωθότων ἐτῶν.* Legg. VII. 797. C: *τῶν εἰωθότων ἕτερον.* VI. 777. C: *περὶ τὰς Μεσσηνίων συχνὰς εἰωθυίας ἀποστάσεις γίγνεσθαι.* VII. 805. B: *παρὰ τὰς εἰωθυίας πολιτείας.* X. 906. A. Hipp. mai. 284. B: *παρὰ τὰ εἰωθότα παιδεύειν τοὺς υἱεῖς.* Ep. III. 318. A: *τὰ ... εἰωθότα αὐτῷ κομίζεσθαι.* Conv. 213. C: *ὥσπερ εἰώθεις ... ἀναφαίνεσθαι.* Phaed. 59. E: *ὅσπερ εἰώθει ὑπακούειν.* Conv. 175. C: *ὡς εἰώθει.* 217. B. Pol. VII. 516. D. Phaed. 59. A: *ὥσπερ εἰώθειμεν.* D.

εἰωθότως, *more.* Conv. 218. D: *καὶ σφόδρα ἑαυτῷ εἰωθότως* (libri MSS. *ἑαυτοῦ τε καὶ εἰωθότως*).

ἐκ (*ἐξ* ante voc.), *e*, *ex.* Prot. 320. D: *ἐκ γῆς καὶ πυρὸς μίξαντες.* 321. C: *ἐξιέναι ἐκ γῆς εἰς φῶς.* Phaedr. 246. A: *αὐτοί τε ἀγαθοὶ καὶ ἐξ ἀγαθῶν* (ubi originem vel stirpem indicat. Cf. 249. E. 274. A. Gorg. 512. D. Legg. X. 889. D: *αὐτὴν θνητὴν ἐκ θνητῶν.*). Phaed. 97. B: *ἐκ βιβλίου τινὸς ... ἀναγιγνώσκοντος.* Pol. IV. 443. E: *παντάπασιν ἕνα γενόμενον ἐκ πολλῶν.* VII. 530. C: *χρήσιμον ... ἐξ ἀχρήστου ποιήσειν.* VIII. 566. A: *λύκῳ ἐξ ἀνθρώπου γενέσθαι* (Legg. II. 666. B. V. 744. C.). X. 616. C: *τὸ ἄγκιστρον εἶναι ἐξ ἀδάμαντος.* Ib. *ἐκ ... τῶν ἄκρων τεταμένον Ἀνάγκης ἄτρακτον.* Tim. 52. B: *ὡς κάλλιστά τε καὶ ἄριστα ἐξ οὐχ οὕτως ἐχόντων τὸν θεὸν αὐτὰ ξυνιστάναι.* 34. E: *ἓν ... τρίγωνον ἐξ ἓξ τὸν ἀριθμὸν ὄντων γέγονε.* — Significat unde aliquid prodeat, unde vel a quo proficiscatur, profectum vel factum sit al. (Lat. *e* et *a*). Theaet. 171. A: *ἐξ ἁπάντων ... ἀμφισβητήσεται.* 173. D: *τί τῳ κακόν ἐστιν ἐκ προγόνων γεγονός.* Conv. 220. D: *ἐξ ἧς* (*μάχης*) *ἐμοὶ καὶ τἀριστεῖα ἔδοσαν οἱ στρατηγοί.* Pol. V. 463. D: *αὗταί σοι ἢ ἄλλαι φῆμαι ἐξ ἁπάντων τῶν πολιτῶν ὑμνήσουσιν εὐθὺς περὶ τὰ τῶν παίδων ὦτα* cet. Tim. 47. B: *οὐθ' ἥξει ποτε τῷ θνητῷ γένει δωρηθὲν ἐκ θεῶν.* Legg. IX. 872. E: *ὁ ... μῦθος ἢ λόγος ... ἐκ παλαιῶν ἱερέων εἴρηται.* X. 892. C: *ὕστερα καὶ ἀρχόμενα ἂν ἐκ τέχνης εἴη καὶ νοῦ.* Hinc *ἐξ ὧν*, *unde.* Tim. 47. A. Menex. 245. E. Theag. 129. C. — Ponitur in loco, parte et tempore (vern. *von - her*, *von der - Seite*). Critia 118. A: *ὁ τόπος ... ἀπότομος ἐκ θαλάττης.* Prot. 314. E: *ἐκ μὲν τοῦ ἐπὶ θάτερα ... ἐκ δὲ τοῦ ἐπὶ θάτερα* (*hinc - illinc*). Euthyd. 297. C: *οὕτως ἐκ τοῦ ἐπ' ἀριστερὰ λέγων καὶ δάκνων.* Men. 234. E: *ἐκ πολλοῦ χρόνου λόγους παρεσκευασμένων.* Hinc *ἐξ ἐκείνου* (Parm. 126. B. Ax. 366. C. 369. A.), *ἐξ οὗ*, *ex quo* (Conv. 195. C. Hipp. min. 364. A. Ep. VII. 353. A: *ἐξ οὗπερ.*), et *ἐκ τούτου* (Prot. 321. E.). Similiter *ἐκ νέου*, *ἐκ νέων* et *ἐκ παίδων* vel *τῶν παίδων* (Legg. I. 642. B: *ἐκ νέων εὐθύς.* Ib. Voss. *ἐκ τῶν παίδων εὐθύς.* 643. E. III. 694. C. D. XII. 942. C.). — Instrumen-

tum, opem al. indicat. Phaedr. 244. C: ἅτ' ἐκ διανοίας ποριζομένων ... νοῦν τε καὶ ἱστορίαν. 245. A: ὡς ... ἐκ τέχνης ἱκανὸς ποιητὴς ἐσόμενος. 251. D: ἐκ δ' ἀμφοτέρων μεμιγμένων ἀδημονεῖ. Phaed. 74. B: ἐκ τούτων ἐκεῖνο ἐνενοήσαμεν. Crat. 438. A: ἐκ ποίων ... ὀνομάτων ἢ μεμαθηκὼς ἢ εὑρηκὼς ἦν τὰ πράγματα —; Phil. 26. D: γένεσιν εἰς οὐσίαν ἐκ τῶν ... μέτρων. Pol. II. 365. D: ἐξ ὧν τὰ μὲν πείσομεν, τὰ δὲ βιασόμεθα. V. 465. B: πανταχῇ ... ἐκ τῶν νόμων εἰρήνην πρὸς ἀλλήλους οἱ ἄνδρες ἄξουσι; 468. D. VIII. 545. D: ὅτι πᾶσα πολιτεία μεταβάλλει ἐξ αὐτοῦ τοῦ ἔχοντος τὰς ἀρχάς. Tim. 91. A. Legg. I. 625. A: ἐκ τοῦ τότε διανέμειν ... τοῦτον τὸν ἔπαινον αὐτὸν εἰληφέναι. VII. 810. E: τὴν νῦν ἐκ τῶν παρόντων λόγων τετμημένην ὁδόν. 811. A: εἰ μέλλει τις ἀγαθὸς ... ἐκ πολυπειρίας καὶ πολυμαθίας γενέσθαι. **ob, propter.* Phil. 22. B: παρὰ φύσιν ἂν ... ἐλάμβανεν ἄκων ἐξ ἀγνοίας ἤ τινος ἀνάγκης οὐκ εὐδαίμονος. Pol. VI. 493. B: ὁπότε χαλεπώτατον ἢ πραότατον καὶ ἐκ τίνων γίγνεται. VIII. 549. D: ἐξ ἁπάντων τούτων ἀχθομένης cet. Critia 120. D: ἔκ τινος τοιᾶσδε ... προφάσεως. Unde ἐκ τούτων (*hinc, iccirco*). Polit. 274. C: ἐκ τούτων πάντων ἐν μεγάλαις ἦσαν ἀπορίαις. D: ἐκ τούτων γέγονεν. Pol. III. 374. C. VI. 489. C. VII. 539. C. Pariter ἐξ ὧν (*wodurch*). Polit. 274. B: ἐξ ὧν ἕκαστα καὶ δι' ἃς αἰτίας μεταβέβληκε. 307. E. Pol. IX. 591. A. *ut Lat. *e*, valet etiam *secundum* (vern. *gemäss, zu Folge*). Prot. 313. C: ἔοικεν ... ἐξ ὧν σὺ λέγεις. 358. E: ἢ ἀδύνατον ἐκ τῶν ὡμολογημένων; Gorg. 477. C: αἴσχιστόν ἐστιν ἐκ τῶν ὡμολογημένων ἐν τῷ ἔμπροσθεν. 516. D: ἐκ τούτου τοῦ λόγου. 480. A. Phaed. 61. C: ἐξ ὧν ἐγὼ ᾔσθημαι. 94. A: πῶς γὰρ ἔκ γε τῶν προειρημένων; Theaet. 157. A: ὥστε ἐξ ἁπάντων τούτων ... οὐδὲν εἶναι ἓν αὐτὸ καθ' αὑτό. Conv. 200. B. 201. D. Pol. I. 340. B: ἐκ ... τούτων τῶν ὁμολογιῶν. 352. D. II. 366. B. al. **post.* Prot. 310. D: ἐπειδὴ ... τάχιστά με ἐκ τοῦ κόπου ὁ ὕπνος ἀνῆκεν. Phaedr. 251. A: οἷον ἐκ τῆς φρίκης, μεταβολή τε καὶ ἱδρὼς ... λαμβάνει. Theaet. 172. B: λόγος ... ἡμᾶς ... ἐκ λόγου, μείζων ἐξ ἐλάττονος, καταλαμβάνει. Phil. 27. B: ἔπειτ' ἐκ τούτων τρίτον. Legg. VI. 776. B: τὸν βίον παραδιδόντας ἄλλοις ἐξ ἄλλων. — Cum particip. est i. q. *postquam* c. modo finito. Phaed. 70. E: ἀνάγκη ... ἐξ ἐλάττονος ὄντος πρότερον ἔπειτα μεῖζον γίγνεσθαι. Ib. οὐκοῦν ... ἐκ μείζονος ὄντος πρότερον ὕστερον ἔλαττον γενήσεται; **pro.* Legg. VI. 753. B: ὡς ... γένοιτ' ἂν ἐπιεικέστατα ἐκ τῶν ὑπαρχόντων ἡμῖν τὰ νῦν, εἰρήσθω. *Etiam in statu vel conditione ponitur, ut verti possit praep. *bei* vel *mit*. Phaed. 84. B: ἐκ ... τῆς τοιαύτης τροφῆς οὐδὲν δεινὸν μὴ φοβηθῇ cet. Legg. V. 743. B: οὔκουν ποτὲ ἂν τῶν ἐκ διπλασίων μὲν κτημάτων, ἡμίσεων δὲ ἀναλωμά-

των ὁ τὰ ἐναντία τούτων πράττων γένοιτ' ἂν πλουσιώτερος. VII. 805. A. — Saepenumero est i. q. nomin. Gorg. 525. E: ἐκ τῶν δυναμένων (i. q. δυνάμενοι) εἰσὶ καὶ οἱ σφόδρα πονηροὶ γιγνόμενοι ἄνθρωποι. Soph. 256. D: ἔστιν ἄρα ἐξ ἀνάγκης (i. q. ἀνάγκη) τὸ μὴ ὂν ἐπί τε κινήσεως εἶναι καὶ κατὰ πάντα τὰ γένη. 259. A: ἔστι σαφέστατα ἐξ ἀνάγκης εἶναι μὴ ὄν. 255. D. Similiter ἐκ τρίτων, *tertius* (vern. *als selbdritter*). Conv. 213. B: ἵνα ἐκ τρίτων κατακέηται. Gorg. 500. A. — Cum genitivo nectitur etiam ita ut simpl. genitivo exprimi possit. Polit. 274. D: τὸ μὲν ἐκ θεῶν ... τῆς ἐπιμελείας ἐπέλιπεν ἀνθρώπους. Pol. II. 366. A: τὰ δ' ἐξ ἀδικίας κέρδη ἀπωσόμεθα. Epin. 983. C: ὄγκους ... ἐκ τούτων ξύμπαντας. Lach. 184. A: κρότος ὑπὸ τῶν ἐκ τῆς ὁλκάδος. De virt. 379. C: ἐπιπνοίᾳ ἐκ τῶν θεῶν γιγνόμενοι τοιοῦτοί εἰσιν. Exprimi potest Lat. ablativo. Phaedr. 231. C: ἕτοιμοί εἰσι καὶ ἐκ τῶν λόγων καὶ ἐκ τῶν ἔργων (*verbis - re*) ... τοῖς ἐρωμένοις χαρίζεσθαι. Legg. IX. 863. B: ἐξ ἐναντίας ... αὐτῷ ... ῥώμης δυναστεύουσαν. X. 938. C: φιλοχρημοσύνης ἕνεκα τῆς ἐκ παντὸς τρόπου παρ' αὐτῷ τιμωμένης. Praep. *mit* vel *zu* reddi potest. Theaet. 154. D: ἤδη ἂν τὸ λοιπὸν ἐκ περιουσίας (*animi causa*) ἀλλήλων ἀποπειρώμενοι. Tim. 33. D: πάντα ἐν ἑαυτῷ καὶ ὑφ' ἑαυτοῦ πάσχον καὶ δρῶν ἐκ τέχνης γέγονεν. — Cum adiect. est i. q. adverbium vel adiectivum substantivo apposito conveniens. Phaedr. 243. D: ἐκ τῶν ὁμοίων (*perinde* vel *aeque*) χαρίζεσθαι. Gorg. 517. A: οὗτοι ... ἀνεφάνησαν ἐξ ἴσου τοῖς νῦν ὄντες. Pol. VIII. 561. B: ἐξ ἴσου τρέφων. Legg. XI. 919. D: ἰδιώταις τοῖς μὴ ἐξ ἴσου ἑαυτῷ. V. 743. A: ἡ ... ἐκ δικαίου καὶ ἀδίκου κτῆσις (*opum comparatio iusta* et *iniusta*) πλέον ἢ διπλασία ἐστὶ τῆς ἐκ τοῦ δικαίου μόνον. C: κτώμενος ἐκ (v. ἀπὸ) τῶν δικαίων μόνον. Cum adverb., ut ἐκ τοῦ παρὰ χρῆμα (v. παραχρῆμα), *ex tempore*. Menex. 236. B. De dict. ἐξ ἀνθρώπων vid. p. 178.

ἑκάεργος, ὁ. Pol. III. 391. A. (Hom.).

ἑκασταχόσε, *quoquoversus*. Critia 116. A: πύργους ... ἑκασταχόσε ἐπιστήσαντες.

ἑκασταχοῦ, *suo quisque loco* vel *tempore*, *singulis locis* vel *temporibus*. Phaedr. 257. E: οἳ ἂν ἑκασταχοῦ ἐπαινῶσιν αὐτούς. Critia 109. A: ἡ τοῦ λόγου διέξοδος ... τὸ προστυχὸν ἑκασταχοῦ δηλώσει. Legg. III. 676. C: πεπολιτευμέναι ... πάσας πολιτείας πολλάκις ἑκασταχοῦ.

ἕκαστος, η, ον, *quisque*, *singuli*; etiam *omnes*. Gorg. 503. E: ὡς εἰς τάξιν τινὰ ἕκαστος ἕκαστον τίθησιν ὃ ἂν τιθῇ. Polit. 271. D: αὐτάρκης εἰς πάντα ἕκαστος ἑκάστοις ὧν οἷς αὐτὸς ἔνεμεν. Parm. 134. A: ἑκάστη ... τῶν ἐπιστημῶν. Ib. ἑκάστου τῶν ὄντων. Ib. τῶν παρ' ἡμῖν ὄντων ἑκάστου. Hipp. mai. 295. E. Prot. 318. A: ἑκάστης ἡμέρας ἀεὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι. D: καὶ τῶν ἄλλων ἡμερῶν

ἑκάστης οὕτως ἐπιδώσει εἴς τι —; Pol. I. 341. D: *ἑκάστη τῶν τεχνῶν.* Crat. 364. D: *οὐ γὰρ φύσει ἑκάστῳ πεφυκέναι ὄνομα οὐδὲν οὐδενί.* Gorg. 460. B: *οἷον ἡ ἐπιστήμη ἕκαστον ἀπεργάζεται.* Polit. 293. C: (*ἕωσπερ ἂν*) *σώζωσιν οἱ θεραπεύοντες ἕκαστοι τὰ θηραπευόμενα.* Pol. VI. 502. D: *κατὰ ποίας ἡλικίας ἕκαστοι ἑκάστων ἁπτόμενοι.* Legg. III. 682. D: *τὰ τῶν πολιορκούντων ἑκάστων οἴκοι κατὰ πολλὰ ξυνέβαινε γιγνόμενα.* XII. 943. B: *πάλιν ἑκάστων τούτων … ποιῆσαι ξύλλογον.* Prot. 315. C: *ἑκάστοις αὐτῶν διέκρινε καὶ διεξῄει τὰ ἐρωτώμενα.* Theaet. 175. B: *ἐν ἑκάστοις ἀπορῶν.* Polit. 306. D: *ὅντινα τρόπον αὐτὸ δρῶσιν ἐν ἑκάστοις τούτων;* Phil. 17. E: *τὸ ἄπειρον … ἑκάστων καὶ ἐν ἑκάστοις πλῆθος.* Legg. VII. 799. A: *οἷστισιν ἑκάστοις τῶν θεῶν.* VIII. 829. C: *ἑκάστοισι τούτων.* 849. E: *ὁπόσων ἑκάστοισι χρεία.* X. 910: *ἑκάσταισί τε αὐτῶν* cet. Phaed. 112. C: *εἰς τοὺς τόπους ἕκαστα ἀφικνούμενα εἰς οὓς ἑκάστους* (Steph. *ἕκαστος*) *ὁδοποιεῖται.* Legg. XII. 943. A: *δικάζειν … τοὺς στρατεύσαντας ἑκάστους.* — Post plural. ponitur, ut Lat. *quisque.* Prot. 327. E: *καθ' ὅσον δύνανται ἕκαστος.* Gorg. 503. E: *ὥσπερ καὶ οἱ ἄλλοι πάντες δημιουργοὶ βλέποντες πρὸς τὸ ἑαυτῶν ἔργον ἕκαστος … προςφέρει* cet. Pol. I. 346. D: *αἱ ἄλλαι πᾶσαι οὕτω τὸ αὑτῆς ἑκάστη ἔργον ἐργάζεται.* Etiam pluralis subiicitur. Phil. 48. E: *ἡ κατὰ τὴν αὐτῶν* (antec. *ἕκαστον*) *οὐσίαν.* Pol. VIII. 550. D: *δαπάνας αὑτοῖς* (antec. *ἑκάστῳ*) *ἐξευρίσκουσι.* Legg. VI. 754. D. C. Cum v. *εἷς*, vid. h. v. Cum v. *πᾶς*: Euthyd. 303. B: *ἐφ' ἑκάστοις πᾶσι.* Tim. 80. C. al. Artic. et nomini subiicitur, ita ut saepius verti possit *jedesmal* vel *der jedesmalige.* Phaedr. 248. E: *ὅθεν ἥκει ἡ ψυχὴ ἑκάστη.* Crat. 389. C: *εἰς τὸ ἔργον ἕκαστον.* Pol. I. 339. C: *οἱ ἄρχοντες ἐν ταῖς πόλεσιν ἑκάσταις.* Hipp. mai. 281. B: *οἳ* (*λόγοι*) *ἂν παρὰ τῶν πόλεων ἑκάστων λέγωνται.* Articulo autem et nomini praemissum maiorem vim habet (*unusquisque*, *quilibet*, plur. *omnes*). Parm. 134. A: *ἑκάστη ἡ παρ' ἡμῖν ἐπιστήμη.* Pol. I. 338. E: *ἑκάστη ἡ ἀρχή.* Crat. 424. E: *ὡς ἂν … δοκῇ ἑκάστη ἡ εἰκὼν δεῖσθαι ἑκάστου φαρμάκου.* Phaedr. 274. E: *περὶ ἑκάστης τῆς τέχνης.* Men. 98. B. Parm. 143. C: *ἐν ἑκάστῃ τῇ προαιρέσει.* 144. C: *ἑκάστῳ τῷ τῆς οὐσίας μέρει.* Pol. V. 480: *τοὺς … αὐτὸ ἕκαστον τὸ ὂν ἀσπαζομένους φιλοσόφους … κλητέον.* VI. 487. B. Euthyd. 307. B: *πρὸς ἕκαστον τὸ ἔργον.* Prot. 315. A: *οὓς ἄγει ἐξ ἑκάστων τῶν πόλεων* (vern. *aus allen den Städten*) *δι' ὧν διεξέρχεται.* Theaet. 157. C: *παρατίθημι ἑκάστων τῶν σοφῶν ἀπογεύσασθαι.* Pol. X. 601. A: *χρώματ' ἄττα ἑκάστων τῶν τεχνῶν.* V. 461. A: *ἐφ' ἑκάστοις τοῖς γάμοις.* Apol. 39. A: *ἐν ἑκάστοις τοῖς κινδύνοις.* Phil. 32. E: *τίνα ποτὲ ἕξιν δεῖ τότε ἐν ἑκάστοις εἶναι τοῖς ζώοις, ὅταν οὕτως ἴσχῃ.* — Cum. praep. *κατά*, *in singulis, singulatim* vel *singula.* Theaet. 188. A: *περὶ πάντα καὶ καθ'*

ἕκαστον. Soph. 217. B: καθ' ἕκαστον ... διορίσασθαι σαφῶς. 259. B: καθ' ἕκαστον ... καὶ ξύμπαντα. C. Phil. 15. D: καθ' ἕκαστον τῶν λεγομένων. Pol. VI. 487. C: καθ' ἕκαστον τὸ ἐρωτώμενον ἐναντιοῦσθαι. Tim. 73. C: οἷά τε καθ' ἕκαστα εἴδη. 83. D: καθ' ἑκάστην μὲν ἀοράτων διὰ σμικρότητα, ξυναπασῶν δὲ cet. 86. C. Cum v. ἕν: Phaedr. 273. E: μιᾷ ἰδέᾳ ... καθ' ἓν ἕκαστον περιλαμβάνειν (τὰ ὄντα). — Repetitur. Men. 72. A: καθ' ἑκάστην ... τῶν πράξεων ... πρὸς ἕκαστον ἔργον ἑκάστῳ ἡμῶν ἡ ἀρετή ἐστιν. — Praegresso οὐδείς post part. ἀλλά omittitur. Phaedr. 260. D: ἀλλ' ... οὕτω ἐμὲ λαμβάνει (int. ἕκαστος ex antec. οὐδένα). Theaet. 157. A: ὥστε ... οὐδὲν εἶναι ἓν αὐτὸ καθ' αὑτό, ἀλλά τινι (int. ἕκαστον) ἀεὶ γίγνεσθαι. Conv. 192. E: ἀλλ' ἀτεχνῶς οἴοιτ' ἂν (int. ἕκαστος ex antec. ὅτι οὐδ' ἂν εἷς ἐξαρνηθείη) ἀκηκοέναι τοῦτο ὃ cet. Pol. II. 366. D: τῶν γε ἄλλων οὐδεὶς ἑκὼν δίκαιος, ἀλλ' ὑπ' ἀνανδρίας ... ψέγει τὸ ἀδικεῖν. 382. A. IV. 438. A: ὡς οὐδεὶς ποτοῦ ἐπιθυμεῖ, ἀλλὰ χρηστοῦ ποτοῦ. VIII. 561. B: οὐδεμίαν ἀτιμάζων, ἀλλ' ἐξ ἴσου τρέφων (int. ἑκάστην).

ἑκάστοτε, proprie est *quoties* vel *quotiescunque* (cum verbo ex ipsa oratione supplendo), vern. *jedesmal* vel *allemal.* Sic Euth. 3. B: τὸ δαιμόνιον ... σαυτῷ ἑκάστοτε γίγνεσθαι (ubi est vern. *jedesmal*, i. q. *so oft du etwas beginnen wollest*). Prot. 348. C: ἃ αὐτὸς ἀπορῶ ἑκάστοτε. Phaedr. 262. B: ἀπὸ τοῦ ὄντος ἑκάστοτε ἐπὶ τοὐναντίον ἀπάγων. Gorg. 467. C: ὃ ἂν πράττωσιν ἑκάστοτε. 521. D: οὓς λέγω ἑκάστοτε. Phaed. 59. D: περιεμένομεν ... ἑκάστοτε ἕως ἀνοιχθείη τὸ δεσμωτήριον. Conv. 177. A: Φαῖδρος γὰρ ἑκάστοτε πρός με ... λέγει. Phil. 45. C: ποῦ ποτὲ γίγνεται ἑκάστοτε. Pol. VII. 592. D. Tim. 21. B. Legg. VII. 801. A: οἷς θύομεν ἑκάστοτε. Apol. 23. A. Crit. 46. D. Cum subst. Phil. 33. D: τῶν περὶ τὸ σῶμα ἡμῶν ἑκάστοτε παθημάτων τὰ μὲν cet. Cum particip. verti potest *quisque* vel *quicunque,* etiam *quotiescunque* c. verbo finito. Soph. 221. A: τὸ στόμα τοῦ θηρευθέντος ἑκάστοτε. Polit. 283. C: τὰ μακρότερα τοῦ δέοντος ἑκάστοτε λεγόμενα. 290. A: τοὺς τὰ τοιάδε διακονοῦντας ἑκάστοτε. 291. E: τὴν ... ὑπ' ὀλίγων γε ἑκάστοτε κρατηθεῖσαν πόλιν. Crat. 437. E: τοὺς τὰ ὀνόματα ἐν ταῖς πόλεσι τιθεμένους ἑκάστοτε. Phil. 15. D: ὁ ... πρῶτον αὐτοῦ γευσάμενος ἑκάστοτε τῶν νέων. Pol. VI. 487. B: οἱ ἀκούοντες ἑκάστοτε ἃ νῦν λέγεις. Legg. I. 628. B: ἢ πρὸς πόλεμον τὸν ἐν αὐτῇ γιγνόμενον ἑκάστοτε. III. 690. E. al. — Cum v. ἕκαστος. Pol. I. 346. A: οὐχὶ ἑκάστην ... φαμὲν ἑκάστοτε τῶν τεχνῶν τούτῳ ἑτέραν εἶναι, τῷ cet. Legg. IV. 718. A: κατὰ ταῦτα ζῶντες ἑκάστοτε ἕκαστοι. IX. 893. E. XII. 962. C. — Cum verbo πολλάκις iunctum verti potest *quotiescunque* c. verbo finito. Polit. 306. E: τῶν πράξεων ἐν πολλαῖς καὶ πολλάκις ἑκάστοτε (*quotiescunque in his*

mest) *τάχος ... λέγομεν* cet. Phil. 58. A: *ἤκουον ... ἑκάστοτε Γοργίου πολλάκις* (i. q. *quoties Gorgiam audivi, toties ex eo audivi quum diceret*). Etiam c. *ὅταν* iunctum verti potest *quotiescunque*. Prot. 341. A: *νουθετεῖ ἑκάστοτε ὅταν ... λέγω ὅτι* cet. Pol. III. 393. B: *ὅταν τὰς ῥήσεις ἑκάστοτε λέγῃ*. Euthyd. 295. D: *ὅτι μοι κἀκεῖνος χαλεπαίνει ἑκάστοτε ὅταν αὐτῷ μὴ ὑπείκω*. Negatione antecedente saepenumero est i. q. *unquam*. Prot. 341. B: *οὐδεὶς γοῦν λέγει ἑκάστοτε* (Lat. *nemo — unquam*). Legg. I. 633. C: *ὅσα οὐκ ἂν παύσαιτό τις ἑκάστοτε διεξιών*.

ἑκάτερος, α, ον, *uterque* (vern. *jeder von beiden*, plur. *beide*). Gorg. 481. D: *ἐρῶντε δύο ὄντε δυεῖν ἑκάτερος*. Conv. 193. E: *τί ἕκαστος ἐρεῖ, μᾶλλον δὲ τί ἑκάτερος*. Legg. V. 734. C: *ἑκάτερος ἑκάτερον ὑπερβάλλων*. Lach. 186. E: *σὺ ... εἴπατον ἡμῖν ἑκάτερος*. Phil. 37. C: *ὁποία τις ἑκατέρα*. 57. A: *ὡς μία ἑκατέρα*. Phaed. 97. A: *ὅτε ... ἑκάτερον αὐτῶν χωρὶς ἀλλήλων ἦν*. Theaet. 185. A: *ὅτι ἑκάτερον ἑκατέρου ... ἕτερον*. Hipp. mai. 303. A: *αὐτὸ τὸ ἑκάτερον καὶ τὸ ἀμφότερον*. Phaedr. 263. B: *εἰληφέναι τινὰ χαρακτῆρα ἑκατέρου τοῦ εἴδους*. Gorg. 500. D: *ἑκατέρου ... αὐτοῖν μελέτην τινὰ εἶναι*. Phaed. 71. B: *γένεσίν τε εἶναι ἐξ ἑκατέρου εἰς ἄλληλα*. Theaet. 144. E: *νῷν ἐρχόντοιν ἑκατέρου λύραν*. Prot. 337. A: *μὴ ἴσον δὲ νεῖμαι ἑκατέρῳ*. Euthyd. 299. E: *ἐν ἑκατέρῳ τὠφθαλμῷ*. Polit. 264. D: *ἐφ' ἑκατέρῳ τούτων τὸ μέρος αὐτῆς ἐπινέμοντες ἑκάτερον*. Phil. 35. E: *τούτων ἐν ἑκατέρῳ γιγνόμενος*. Pol. X. 687. C: *τὴν ... Λάχεσιν ἐν μέρει ἑκατέρας ἑκατέρᾳ τῇ χειρὶ ἐφάπτεσθαι*. Conv. 187. E: *φυλακτέον ἑκάτερον τὸν ἔρωτα*. Gorg. 496. B: *ἐν μέρει ... ἑκάτερον καὶ λαμβάνει καὶ ἀπολλύει*. Soph. 243. E: *ἄμφω καὶ ἑκάτερα*. 250. A: *ἀμφότερα ... καὶ ἑκάτερον*. Phil. 60. C: *χωρὶς ἑκάτερον ἑκατέρου θέντες*. Pol. VIII. 547. B: *ἑκατέρω τὼ γένη*. Phil. 11. C: *μῶν οὐχ οὕτω πως λέγομεν ... ἑκάτεροι;* Pol. I. 348. A: *ὅσα ἑκάτεροι ἐν ἑκατέρῳ λέγομεν*. V. 470. D: *ἐὰν ἑκάτεροι ἑκατέρων τέμνωσιν ἀγρούς*. Phil. 19. D: *ἵν' ἐν μνήμῃ παρακείμενα ἑκάτερα βασανίζηται*. Tim. 36. D: *οὐσῶν ἑκατέρων τριῶν*. 77. E: *ἀφ' ἑκατέρων τῶν μερῶν*. Legg. VII. 795. A: *ὁμοίως ἑκατέραις* (int. *χερσὶ*) *ἐπ' ἀμφότερα χρώμενος*. Phil. 32. B: *ἐν τούτοις τοῖς πάθεσιν ἑκατέροις*. Tim. 18. E: *πρὸς ἑκατέρους*. Critia 119. B: *ἑκατέρους δύο*. Phil. 12. D: *τούτων τῶν ἡδονῶν ἑκατέρας ... ὁμοίας ἀλλήλαις εἶναι λέγων* cet. Pol. IX. 586. C: *ὥστε σφοδροὺς ἑκατέρας* (voluptates et dolores) *φαίνεσθαι*. Tim. 43. D: *τρεῖς ἑκατέρας ἀποστάσεις*. Parm. 156. E: *μεταβάλλοι ἂν ἐφ' ἑκάτερα*. Tim. 78. D. Epin. 983. D: *πάντα δὲ ἀλλήλων ἄλλα καὶ ἑκάτερα ἑκατέρων*.

ἑκατέρωθεν, *utrinque*. Pol. II. 367. B: *εἰ ... μὴ ἀφαιρήσεις ἑκατέρωθεν τὰς ἀληθεῖς* (*δόξας*). Tim. 53. D. Cum art. et nom. Phaed. 112. E: *τὸ ἑκατέρωθεν ... μέρος*.

ἑκατέρως, *utroque modo*. Legg. X. 895. E: *μῶν οὖν οὐ ταὐτὸν ἑκατέρως προσαγορεύομεν —;*

ἑκατέρωσε, *utroque*. Gorg. 523. C: *ὅτι φοιτῷέν σφιν ἄνθρωποι ἑκατέρωσε* (in beatorum insulas et Tartarum) *ἀνάξιοι*. Pol. VI. 501. B: *πυκνὰ ἂν ἑκατέρωσε* (v. *ἑκατέρως*) *ἀποβλέποιεν*. **in utramque partem*. Phaed. 112. D: *δυνατὸν δ' ἐστὶν ἑκατέρωσε μέχρι τοῦ μέσου καθιέναι, πέρα δ' οὔ*. Pol. X. 619. A: *τὰ ὑπερβάλλοντα ἑκατέρωσε*.

ἑκατόμβη, *ἡ*, *hecatombe*. Alc. II. 149. D. (Hom.).

ἑκατόν, *centum*. Pol. VIII. 546. C: *ἑκατὸν τοσαυτάκις*. Ib. *ἑκατὸν ... κύβων τριάδος*. Critia 115. D: *ἑκατὸν ... ποδῶν βάθος*. E. 118. D. al. Cum genit. Legg. XII. 947. C: *εἰς τὴν θήκην φέρειν αὐτὴν ... τὴν κλίνην ἑκατὸν τῶν νέων τῶν ἐν τοῖς γυμνασίοις*.

ἑκατονταετηρίς, *ἡ*, *centum annorum spatium*. Pol. X. 615. A: *τοῦτο δ' εἶναι κατὰ ἑκατονταετηρίδα ἑκάστην* (*centenis quibusque annis*).

ἑκατοντάς, *ἡ*, *numerus centenarius*. Locr. 96. B: (*ποτὶ*) *πρισὶν ἑκατοντάσι*.

ἐκβαίνω, *egredior*, *excedo*. Pol. IV. 424. D: *ἐκ ... τούτων εἰς τὰ πρὸς ἀλλήλους ξυμβόλαια μείζων ἐκβαίνει*. Phaedr. 256. D: *ἐκβαίνουσι τοῦ σώματος*. Phaed. 113. E: *ὅθεν οὔποτε ἐκβαίνουσιν*. 114. B. Tim. 44. E: *ἔνθεν ... ἐκβαίνειν*. Phaed. 77. D: *αὐτὴν* (τ. *ψυχὴν*) *ἐκβαίνουσαν ἐκ τοῦ σώματος*. 114. B: *ἐκβῆναι εἰς την λίμνην*. Pol. II. 359. E. X. 614. B: *ἐπειδὴ οὗ ἐκβῆναι τὴν ψυχήν*. Gorg. 511. E: *ἐκβὰς ... περιπατεῖ*. **progredior*, *transgredior*. Pol. VII. 523. B: *ὅσα μὴ ἐκβαίνει εἰς ἐναντίαν αἴσθησιν ἅμα*. VI. 511. A: *ὡς οὐ δυναμένην τῶν ὑποθέσεων ἀνωτέρω ἐκβαίνειν*. VII. 523. C: *τὰ δ' ἐκβαίνοντα παρακαλοῦντα τίθημι*. Legg. IX. 864. C: *ἀπόθεν ἐξέβημεν δεῦρο*. Theaet. 175. B: (*ὅταν*) *ἐθελήσῃ τις αὐτῷ* (v. *αὐτῶν*) *ἐκβῆναι ἐκ τοῦ Τί ἐγώ σε ἀδικῶ ἢ σὺ ἐμέ; εἰς σκέψιν* cet. **egredior* (ut annos al.). Pol. VII. 537. E: *ἐπειδὰν τὰ τριάκοντα ἔτη ἐκβαίνωσιν*. V. 461. B: *ὅταν ... αἵ τε γυναῖκες καὶ οἱ ἄνδρες τοῦ γεννᾶν ἐκβῶσι τὴν ἡλικίαν*. Hinc *ἐκβαίνειν* etiam dicitur qui aliquid absolvit vel aliqua re perfunctus est. Legg. V. 744. A: *καὶ οὕτω τάχ' ἂν ἴσως ἐκ τῆς νομοθεσίας αὐτός τε ἐκβαίνοι* cet. **evado* (ut vern. *ausgehen* et *ausfallen*, h. e. *werden*). Crat. 417. E: *ποικίλα γέ σοι ... ἐκβαίνει τὰ ὀνόματα*. Epin. 982. C: *τὸ τέλεον ἐκβαίνει τῷ ὄντι κατὰ νοῦν*. Menex. 247. D: *κατὰ νοῦν ... ἐκβαίνειν*. Charm. 166. E: *ὅπῃ ποτε ἐκβήσεται ἐλεγχόμενος* (*ὁ λόγος*). Est etiam i. q. *reperior*. Pol. III. 413. E: *ἀκήρατον ἐκβαίνοντα*. Id. VI. 503. A. **egredior* vel *excedo* (vern. *überschreiten*). Pol. II. 380. D: *τῆς ἑαυτοῦ ἰδέας ἐκβαίνειν*. III. 406. B: *εἴ τι τῆς εἰωθυίας διαίτης ἐκβαίη*. 404. A: *καὶ ἐὰν σμικρὰ ἐκβῶσι τῆς τεταγμένης διαίτης*. IV. 425. E: *οὐκ ἐθέλοντας*

... ἐκβῆναι πονηρᾶς διαίτης. **migro, violo.* Polit. 295. D: δεῖν μὴ ἐκβαίνειν τὰ ἀρχαῖά ποτε νομοθετηθέντα. Pol. I. 338. E: τὸν τοῦτο (al. τούτου) ἐκβαίνοντα κολάζουσιν. Conv. 183. B: ἐκβάντι τὸν ὅρκον (v. τῶν ὅρκων).

ἐκβακχεύω, *divino afflatu concito;* pass. *rapior, furo.* Phaedr. 245. A: ἁπαλὴν ... ψυχὴν ἐγείρουσα καὶ ἐκβακχεύουσα. Pol. VIII. 561. A: (ἐὰν) μὴ πέρα ἐκβακχευθῇ.

ἐκβάλλω, *eiicio, expello.* Gorg. 468. D: ἐκβάλλει ἐκ πόλεως. Phaed. 114. A: ἐκβάλλει τὸ κῦμα. Polit. 309. A. Gorg. 468. B: ἐκβάλλομεν. 466. C: ἐκβάλλουσιν ἐκ τῶν πόλεων. Theaet. 180. B: πανταχόθεν ἐκβάλλουσιν. Polit. 298. B: ἐκβάλλουσιν εἰς τὴν θάλατταν. Pol. VIII. 560. D: σωφροσύνην ... ἐκβάλλουσι. Legg. IX. 873. B: ἔξω τῆς πόλεως ἐκβαλλόντων γυμνόν. Prot. 325. A: ἐκβάλλειν ἐκ τῶν πόλεων. Id. Gorg. 456. E. 472. B: ἐκβάλλειν ... ἐκ τῆς οὐσίας. Soph. 227. D. Legg. X. 909. C: ἔξω τῶν ὁρίων ἐκβάλλειν ἄταφον. Ep. VII. 336. A: τοὺς μὲν ἐκβάλλων cet. Gorg. 469. C: ἀποκτιννύντι καὶ ἐκβάλλοντι. Pol. III. 407. D: τὰ νοσήματα ἐκβάλλοντα. Polit. 293. D: ἐκβάλλοντες. Crat. 437. A: ἐκβάλλοντας τὸ εἶ. Pol. VI. 488. C. Ep. III. 318. C: ἡνίκα ... Ἡρακλείδην ἐξέβαλες. Legg. I. 637. A: τοῦτ' ἐξέβαλεν ὁ νόμος ἡμῶν ἐκ τῆς χώρας ξυμπάσης. Menex. 243. B: ὃν κοινῇ ἐξέβαλον μεθ' ἡμῶν. Ep. VII. 333. C: (ἵνα) Διονύσιον ἐκβάλοι ἐκ τῆς ἀρχῆς δόλῳ. Soph. 230. C: πρὶν ἂν τὰ ἐμποδίζοντα ἐν αὐτῷ τις ἐκβάλῃ. Pol. VIII. 557. A: τοὺς δὲ ἐκβάλωσι. Menex. 246. A: ἐκβαλόντες ἐκ τῆς θαλάττης Λακεδαιμονίους. Ax. 368. D: δήμου παίγνιον ἐκβαλλόμενον (v. ἐμβαλλόμενον), συριττόμενον cet. Legg. IX. 854. D: ἐκτὸς τῶν ὅρων τῆς χώρας γυμνὸς ἐκβληθήτω. 874. B: ἔξω τῆς τοῦ παθόντος χώρας ἐκβληθησόμενον ἄταφον. Etiam in urbe dicitur quae civibus expulsis diruitur. Ep. VII. 332. B: πόλεις ὑπὸ βαρβάρων ἐκβεβλημένας. Intrans. *effluo.* Phaed. 113. A: τρίτος ... ποταμὸς τούτων κατὰ μέσον ἐκβάλλει. **abiicio, amitto.* Pol. III. 412. E: μήτε βιαζόμενοι ἐκβάλλουσιν ἐπιλανθανόμενοι δόξαν τὴν cet. IV. 429. D: μὴ ἐκβάλλειν. VI. 503. A: τὸ δόγμα τοῦτο μήτ' ἐν πόνοις ... φαίνεσθαι ἐκβάλλοντας. **emitto, edo.* Ep. VII. 344. D: οὐκ ἂν αὐτὰ ἐτόλμησεν εἰς ἀναρμοστίαν ... ἐκβάλλειν. Pol. V. 473. E: τοιοῦτον ἐκβέβληκας ῥῆμά τε καὶ λόγον ὃν cet. **repello, reiicio.* Crit. 46. B: τοὺς δὲ λόγους ... οὐ δύναμαι νῦν ἐκβαλεῖν. Pol. II. 377. C: ὧν δὲ νῦν λέγουσι τοὺς πολλοὺς ἐκβλητέον.

ἐκβαρβαρῶ, *barbarum efficio.* Ep. VIII. 353. A: ὑπὸ Καρχηδονίων ἀνάστατον ὅλην ἐκβαρβαρωθεῖσαν γενέσθαι (Σικελίαν).

ἐκβιβάζω, *expono* (ex navi). Gorg. 511. E: εἰδὼς ὅτι οὐδὲν αὐτοὺς βελτίους ἐξεβίβασεν ἢ οἵ (sic Cl. c. plur. al. Vulg. οἷοι) ἐνέβησαν.

ἐκβλαστάνω, *progermino.* Pol. VIII. 565. D: *ὅτι … ἐκ προστατικῆς ῥίζης … ἐκβλαστάνει* (*τύραννος*).

ἐκβολή, *ἡ*, *expulsio.* Ep. VII. 333. D: *τῆς ἐκβολῆς τῆς Δίωνος.* 350. C. Legg. VIII. 847. A: *ἐκβολαῖς ἐκ τῆς πόλεως.* Ep. VII. 336. E: *ἐκβολαῖς ἀνθρώπων.* **amotio*; etiam *amissio.* Soph. 230. A: *ταύτης τῆς δόξης ἐπὶ ἐκβολὴν … στέλλονται.* Pol. III. 412. E: *τίνα λέγεις … τὴν ἐκβολήν;* **ostium* (vern. *Ausfluss*). Phaed. 113. A: *ἐγγὺς τῆς ἐκβολῆς.*

ἐκβοῶ, *vociferor.* Pol. VI. 492. B: *ἐκβοῶντες καὶ κροτοῦντες.*

ἐκγίγνεται, *licet.* Parm. 128. D: *ὥστε οὔτε βουλεύσασθαι* (v. *βουλ. ἐμὲ*) *ἐξεγένετο.* Euthyd. 275. E. Idem pro *ἐξεγενήθη* Phil. 62. D. Heind. reponebat (Stallb. malebat *ἐξεγένεθ' ἡμῖν*).

ἐκγλύφω, *exsculpo.* Pol. X. 616. D: *ἐν … σφονδύλῳ κοίλῳ καὶ ἐξεγλυμμένῳ.*

ἔκγονος, *ὁ ἡ*, *fetus*, *partus*; *liberi* et *posteri*; etiam *alumnus.* Pol. III. 415. B: *ἐὰν … σφέτερος ἔκγονος ὑπόχαλκος … γένηται.* IV. 423. C: *ἐὰν … τῶν φυλάκων τις φαῦλος ἔκγονος γένηται.* VI. 506. E. Legg. III. 695. E: *ἅτε τῶν αὐτῶν παιδειῶν γενόμενος ἔκγονος.* Legg. X. 901. E: *δειλίας γὰρ ἔκγονος ἔν γε ἡμῖν ἀργία* cet. XI. 925. D: *τρίτη δὲ ἔκγονος ἀδελφῆς.* 930. D: *ὅταν … ὁμολογῆται … τὸ γεννώμενον εἶναι τῶν ποιουμένων ἔκγονον.* Hipp. mai. 297. B: *ὅτι τὸ ἔργον αὐτῶν καὶ τὸ ἔκγονον σπουδαστόν ἐστι.* Theaet. 150. D: *γεγονὸς τῆς ἐμῆς ψυχῆς ἔκγονον.* Crat. 393. C: *τὸ ἀνθρώπου ἔκγονον.* Conv. 190. B: *ὅτι τὸ … ἄῤῥεν ἦν τοῦ ἡλίου … ἔκγονον.* Pol. III. 415. B: *χρυσοῦν ἔκγονον.* Tim. 50. D: *ἐκγόνῳ.* Crat. 393. B: *τὸν λέοντος ἔκγονον.* Ib. *τὸν ἵππου ἔκγονον.* Pol. V. 457. D: *μήτε γονέα ἔκγονον εἰδέναι τὸν αὑτοῦ μήτε παῖδα γονέα.* Polit. 288. D: *εἶδος πολλῶν ἑτέρων τεχνῶν ἔκγονον ὄν.* Phil. 26. D: *τὸ τούτων ἔκγονον ἅπαν.* Legg. III. 691. C: *εἰς ἔκγονον ὕβρεως ἀδικίαν.* IX. 868. D. Pol. VI. 502. A: *βασιλέων ἔκγονοι ἢ δυναστῶν.* Critia 112. C: *ἐκγόνων ἔκγονοι.* Legg. VII. 817. D: *ὦ παῖδες μαλακῶν Μουσῶν ἔκγονοι.* Menex. 239. D: *οἱ τῆσδε τῆς χώρας ἔκγονοι.* Legg. XI. 928. E: *ξυμφοραὶ τηλικαύτης ἔχθρας ἔκγονοι.* Theaet. 156. A: *ἐκ … τῆς τούτων ὁμιλίας … γίγνεται ἔκγονα … ἄπειρα.* Pol. V. 461. D. Locr. 94. B: *τὰ ἐκ τούτων ἔκγονα.* Soph. 242. D: *τροφὰς τῶν ἐκγόνων.* Critia 114. D. Legg. III. 695. A: *τραχείας χώρας ἐκγόνων.* IX. 877. C. XI. 932. B: *πάντων τῶν ἐκγόνων αὐτοῦ.* Hipp. mai. 291. E. Pol. II. 372. D: *ἄλλον τοιοῦτον βίον τοῖς ἐκγόνοις παραδώσουσι.* V. 463. C: *τούτων ἐκγόνοις ἢ προγόνοις.* Tim. 40. D: *ἐκγόνοις … θεῶν οὖσιν.* Critia 109. D. Legg. IV. 715. A. Pol. III. 415. B: *τοὺς ἐκγόνους.* V. 461. A. Tim. 18. D: *ἐκγόνους*

παῖδάς τ' (v. τε καὶ παῖδας) ἐκγόνων. 41. A. Critia 113. C. Legg. IV. 718. A. Theaet. 152. E: πάντα εἴρηκεν ἔκγονα ῥοῆς τε καὶ κινήσεως. Conv. 209. D: οἷα ἔκγονα ἑαυτῶν καταλείπουσιν. Pol. III. 407. D. V. 459. D: τῶν μὲν τὰ ἔκγονα τρέφειν, τῶν δὲ μή. 460. B: τὰ ἀεὶ γιγνόμενα ἔκγονα. D. 461. D. Trop. Phaedr. 278. A: εἴ τινες τούτου (τοῦ λόγου) ἔκγονοί τε καὶ ἀδελφοὶ ἅμα ἐν ἄλλαις ἄλλων ψυχαῖς κατ' ἀξίαν ἐνέφυσαν. 275. D: τὰ ἐκείνης (τῆς ζωγραφίας) ἔκγονα. Etiam τόκος, *usura*, dicitur ἔκγονος, tanquam fortis partus. Pol. VI. 507. A: τοῦτον ... τὸν τόκον τε καὶ ἔκγονον αὐτοῦ τοῦ ἀγαθοῦ κομίσασθε. VIII. 555. E: τοῦ πατρὸς ἐκγόνους τόκους πολλαπλασίους κομιζόμενοι.

ἐκδειματῶ, *perterreo*. Pol. II. 381. E: μηδ' ... αἱ μητέρες τὰ παιδία ἐκδειματούντων λέγουσαι cet.

ἐκδέρω, *cutem detraho*. Euthyd. 301. C: σφάττειν τε καὶ ἐκδέρειν. D. **excarnifico*. Pol. X. 616. A: καταβαλόντες καὶ ἐκδείραντες.

ἐκδέχομαι, *excipio*. Ax. 371. B: ταῦτα δὲ ἀνοίξαντα ποταμὸς Ἀχέρων ἐκδέχεται. Euthyd. 276. C: τὸ μειράκιον ἐκδεξάμενος ... ἔφη. 277. B: ὥσπερ σφαῖραν ἐκδεξάμενος τὸν λόγον. 298. B. Conv. 189. A: ἐκδεξάμενον ... εἰπεῖν. **recipio*. Tim. 50. E: τὸ τὰ πάντα ἐκδεξόμενον ἐν αὑτῷ γένη. **suscipio*. Menex. 245. A: ἐκδεξαμένη τὸν πόλεμον.

ἐκδημία, ἡ, *profectio*. Legg. XII. 950. E: ἐν ἐκδημίαις πολιτικαῖς. **exsilium*. Legg. IX. 869. E: ἐνιαυτὸς εἷς ἔστω τῆς ἐκδημίας.

ἐκδημῶ, *peregrinor*. Legg. XII. 952. D: ἐκδημείτω. IX. 864. E: τὸν ἐνιαυτὸν ἐκδημῶν. XII. 952. D. 961. A: τοὺς ἐκδημήσαντας.

ἐκδιδάσκω, *edoceo*. Prot. 328. E: ἐπειδὴ καὶ τὰ πολλὰ ταῦτα ἐξεδίδαξε. Med. *edocendum curo*. Ep. XIII. 360. E: ἐκδίδαξαί τινα.

ἐκδίδωμι, *do* (ut dotem), *doto*. Legg. VI. 774. C: μήτε λαμβάνοντι μήτ' ἐκδιδόντι. Ep. XIII. 361. D: τὰς μητέρας αὐτῶν ἐγὼ ἐξέδωκα. Ib. ταύτας ἐκδοτέον ἐμοί ἐστι cet. In univ. *do*. Locr. 104. E: ποθ' ὕβριν ἐκδιδόμενα. **trado*, *committo*. Legg. VII. 806. D: γεωργίαι ἐκδεδομέναι δούλοις. **dedo*, *prodo*. Menex. 245. C: ἠθέλησαν ... αὐτῷ (regi) ἐκδιδόναι. B: οὕσπερ πρότερον Λακεδαιμόνιοι αὐτῷ ἐξέδοσαν. C: ἐκδοῦναι. D: Ἕλληνας βαρβάροις ἐκδόντες. C: ἐκδώσειν τοὺς ἐν τῇ ἠπείρῳ Ἕλληνας. **loco aliquid faciendum*. Parm. 127. A: χαλινόν τινα χαλκεῖ ἐκδιδόντα σκευάσαι. Legg. XI. 921. A: τὸν ἐκδόντα. **nuptum do s. colloco*. Soph. 242. D: συνοικίζει τε αὐτὰ καὶ ἐκδίδωσι. Legg. VI. 771. E: οἷς ἐκδίδωσι. Pol. X. 613. D: ἐκδιδόασί τε εἰς οὓς ἂν ἐθέλωσι. II. 362. B: ἐκδιδόναι εἰς οὓς ἂν βούληται. Legg. V. 742. C: γαμοῦντα ... καὶ ἐκ-

διδόντα. Polit. 310. C: *τὰς ἐκδιδομένας παρ' αὐτῶν* (v. *αὑτῶν*) *εἰς τούτους ἐκπέμπουσι πάλιν*. Med. Legg. V. 740. C: *θηλείας ... ἐκδόσθαι*. Trop. *trado*, *concilio* (quasi *despondeo*). Theaet. 151. B: *ὧν πολλοὺς ... ἐξέδωκα Προδίκῳ*.

ἐκδικάζω, *iudico*. Legg. XII. 958. A: *δίκαι ... ἐκδικασθεῖσαι*. 943. B: *ἐκδικασθεισῶν τῶν τῆς ἀστρατείας δικῶν*.

ἔκδοσις, *ἡ*, *datio*. Polit. 310. E: *ὁμηρειῶν ἐκδόσεσιν εἰς ἀλλήλους*. **collocatio* (in matrimonium). Legg. XI. 924. D: *ἐὰν ... τὴν ἔκδοσιν τῶν θυγατέρων ποιῆται*. Polit. 310. B: *τῶν περὶ τὰς ἰδίας ἐκδόσεις καὶ γάμους*.

ἔκδυσις, *ἡ*, *effugium*. Crat. 426. A: *αὗται γὰρ ἂν πᾶσαι ἐκδύσεις εἶεν*.

ἐκδύω, *emergo*. Phaed. 109. D: *ἐκδὺς καὶ ἀνακύψας ἐκ τῆς θαλάττης*. **elabor* (ex animo). Alc. II. 147. E: *τοῦτο ... ἐκδεδυκέναι ... καὶ οὐκέτι ὡσαύτως δοκεῖν*.

ἐκεῖ, *ibi*, *istic*; etiam *ea in re*, *tum*. Prot. 323. B: *ὃ ἐκεῖ σωφροσύνην ἡγοῦντο εἶναι ... ἐνταῦθα μανίαν*. Phaed. 61. E. 64. A. Theaet. 172. B: *ἐκεῖ οὗ λέγω, ἐν τοῖς δικαίοις* cet. Polit. 280. A: *καθάπερ κἀκεῖ τότε* cet. Conv. 192. E: *ἐκεῖ αὖ ἐν Ἅιδου*. 220. C: *ἐκεῖ ποτὲ ἐπὶ στρατείας*. Pol. V. 451. B: *εἴπερ ἐκεῖ, κἀνθάδε*. Hipp. mai. 286. B: *καὶ ἐκεῖ ... καὶ ἐνθάδε*. Euthyd. 299. B: *καλῶς ἐκεῖ ἕξει*. Alc. I. 108. D. al. Cum artic. Phaedr. 250. A: *τἀκεῖ* (*res superas*). 274. C: *τῶν ἐκεῖ παλαιῶν τινὰ θεῶν*. Theaet. 143. D: *τὰ ἐκεῖ ἄν σε ... ἀνηρώτων*. Pol. I. 330. E: *ὥσπερ ἤδη ἐγγυτέρω ὢν τῶν ἐκεῖ*. II. 365. A: *αἳ τῶν ἐκεῖ κακῶν ἀπολύουσιν ἡμᾶς*. VII. 516. C: *τῆς ἐκεῖ σοφίας*. 520. C: *μυρίῳ βέλτιον ὄψεσθε τῶν ἐκεῖ*. Tim. 20. A: *οὐδενὸς ὕστερος ὢν τῶν ἐκεῖ*. 25. D: *τοὐκεῖ πέλαγος* (24. E: *τὸ ἐκεῖ πέλαγος*). Legg. V. 727. D: *τὰ περὶ τοὺς θεοὺς τοὺς ἐκεῖ*. Crit. 54. B: *τοῖς ἐκεῖ ἄρχουσιν*. Lach. 191. C: *οὕτω νικῆσαι τὴν ἐκεῖ μάχην*.

ἔμπορος, ὁ, *mercator* (isque peregrinans). Prot. 313. C: ἔμπορός τις ἢ κάπηλος τῶν ἀγωγίμων cet. 319. D. Soph. 231. D: ἔμπορός τις περὶ τὰ τῆς ψυχῆς μαθήματα. Legg. XI. 919. D. Gorg. 517. D: ἢ κάπηλον ὄντα ἢ ἔμπορον. Soph. 224. A. Pol. II. 371. A: καὶ ἐμπόρων δὴ δεησόμεθα. Critia 117. E: ἐμπόρων ἀφικνουμένων πάντοθεν. Polit. 267. E: οἱ ἔμποροι. Pol. II. 371. A. Polit. 290. A: οὓς ... ἐμπόρους καὶ ναυκλήρους καὶ καπήλους ἐπωνομάκαμεν. Pol. VII. 525. C. Legg. VIII. 831. E.

ἔμπρησις, ἡ, *incensio*. Pol. V. 470. A: οἰκιῶν ἐμπρήσεως.

ἔμπροσθεν (etiam ante cons. ἔμπροσθε), *ante, supra*. Phil. 20. C: σμικρὰ ἄττα ... ἔμπροσθεν ἔτι διομολογησώμεθα. 29. D: ὅσων ἠρώτησα ὀλίγον ἔμπροσθεν. 73. B: καθάπερ ἔμπροσθεν ἐῤῥήθη. Polit. 300. E: καὶ μὴν ἔμπροσθέν (Cl. c. al. ἔμπροσθέ) γε ὡμολογημένον ἡμῖν κεῖται cet. Phaedr. 277. D: τὰ λεχθέντα ὀλίγον ἔμπροσθεν. Pol. I. 330. D: περὶ ὧν ἔμπροσθεν οὐκ εἰσῄει. Tim. 23. B: πολλῶν (κατακλυσμῶν) ἔμπροσθεν γεγονότων. Critia 109. A: αὐτῶν δὲ τούτων τὰ τῇδε ἔμπροσθεν προτιμητέον εἰπεῖν. Legg. VII. 798. B: ὅπερ ἔμπροσθεν ἐλέγομεν. XI. 920. D: ἐὰν ... ἔμπροσθε (ΑΩ ἔμπροσθεν) μὴ δύνωνται διαλλάττεσθαι. 923. A: τοῦ τε ἔμπροσθεν καὶ τοῦ ἔπειτα ἐσομένου (γένους). 925. A: ἔμπροσθεν (ΑΩ ἔμπροσθε) μὲν (διὰ) τῶν ἀῤῥένων, ὕστερον δὲ θηλειῶν (τὸ γένος πορευέσθω). XII. 947. C: παῖδας ... ἔμπροσθεν τὸ πάτριον μέλος ἐφυμνεῖν (sq. ἐξόπισθεν). Ep. VII. 345. B: ἢ καὶ μαθὼν ἔμπροσθεν παρ' ἑτέρων. — Cum artic. Phaedr. 277. C: ὁ ἔμπροσθεν (*superior*) ... λόγος. Lys. 216. E. Polit. 273. B: παρὰ ... τῆς ἔμπροσθεν ἕξεως. 277. B: τὸ τῆς ἔμπροσθεν ἁμάρτημα διεξόδου. Critia 114. C: τῷ ἔμπροσθεν (sq. τῷ ὑστέρῳ). Prot. 328. E: ἐν ... τῷ ἔμπροσθεν χρόνῳ. Gorg. 475. D. Phaed. 117. D. Phil. 42. A: ἐναντίον ... τὸ νῦν τῷ σμικρὸν ἔμπροσθεν (libri aliquot ἔμπροσθε) γέγονεν. Prot. 315. B: ἐν τῷ ἔμπροσθεν (*a fronte*). Gorg. 477. C: ἐν τῷ ἔμπροσθεν (*antea* vel *supra*). Polit. 292. A: κατὰ τὸν ἔμπροσθεν λόγον. E. (ubi Cl. c. al. ἔμπροσθε.) Phil. 25. A. Legg. IX. 872. D. Gorg. 516. E: ἀληθεῖς ἄρα ... οἱ ἔμπροσθεν λόγοι ἦσαν. Conv. 210. E: οἱ ἔμπροσθεν ... πόνοι. Prot. 358. E: εἰ ἀληθῆ τὰ ἔμπροσθέν ἐστιν. Crat.

422. B. Legg. IV. 722. D. Polit. 296. A: *παρὰ τοὺς τῶν ἔμπροσθεν βελτίους νόμους.* Pol. VI. 496. C: *ἢ οὐδενὶ τῶν ἔμπροσθεν γέγονε.* Legg. XI. 937. D: *τῶν ἔμπροσθεν δικῶν.* Gorg. 509. A: *ἐν τοῖς ἔμπροσθεν λόγοις.* Legg. IX. 860. C. Prot. 335. A: *ταῖς ἀποκρίσεσι ταῖς ἔμπροσθεν.* Legg. IX. 853. A. Prot. 312. A: *εἰ μέν τι τοῖς ἔμπροσθεν ἔοικε.* Soph. 248. D: *τἀναντία ... γὰρ ἂν τοῖς ἔμπροσθεν λέγοιεν.* Pol. VII. 517. A: *τοῖς ἔμπροσθεν λεγομένοις.* Legg. VII. 813. A. Phil. 41. B: *ὀλίγον ἐν τοῖς ἔμπροσθεν.* Crat. 394. D. Tim. 48. E: *ἐν τοῖς ἔμπροσθεν λεχθεῖσιν.* Polit. 269. B: *τοὺς ἔμπροσθεν φύεσθαι γηγενεῖς.* Tim. 18. D. Legg. I. 633. D: *τοὺς ἔμπροσθεν λόγους.* III. 702. A. Prot. 339. C: *κἀκεῖνα τὰ ἔμπροσθεν* (*λέγει*). Theaet. 177. C: *ἐπὶ δὲ τὰ ἔμπροσθεν ἴωμεν.* Pol. II. 375. D: *ἐπισκεψάμενος τὰ ἔμπροσθεν.* Charm. 165. A. — Cum praep. *εἰς* et artic. est *ultra, longius.* Gorg. 497. A: *πρόϊθί γε ἔτι εἰς τοὔμπροσθεν.* Legg. V. 737. B: *ἢ μὴ προϊέναι πρότερον εἰς τοὔμπροσθεν ... τῆς ἄλλης κατασκευῆς.* VI. 755. B: *προϊόντων ... εἰς τοὔμπροσθεν* (A et Ω *τοὔμπροσθε*) *τῶν νόμων.* 783. B. — Cum genit. Phil. 19. A: *ἀριθμὸν ἑκάτερον ἔμπροσθεν κέκτηται τοῦ ἄπειρα αὐτῶν ἕκαστα γεγονέναι.* Legg. I. 631. D: *ταῦτα ... πάντα ἐκείνων ἔμπροσθεν τέτακται φύσει.* V. 743. E: *σωφροσύνης ἔμπροσθεν ὑγίειαν ... ποιῶν τιμίαν.* VI. 772. E: *δεῖ ... ἔμπροσθεν τοῦ νόμου προοίμιον ... προτιθέναι.* 773. E: *τὰ ἔμπροσθεν* (A et Ω a pr. m. *ἔμπροσθε*) *τούτων ῥηθέντα.* 778. B: *γάμων δ' ἦν ἔμπροσθεν ταῦτα.* VII. 805. D: *τίνα ... ἔμπροσθεν ... θεῖμεν ἂν τῆς κοινωνίας ταύτης ἣν* cet. IX. 892. A: *σωμάτων ἔμπροσθεν πάντων γενομένη* (*ψυχή*). Sq. *πρίν.* Legg. XI. 922. B: *ἐναντία ... τοῖς αὐτῶν* (*ἤθεσι*) *τοῖς ἔμπροσθεν πρὶν διατίθεσθαι μέλλειν.*

ἔμπυρος, ὁ ἡ, igneus; etiam id quod ad ignem exercetur vel igni admovetur. Prot. 321. E: *κλέψας τήν τε ἔμπυρον τέχνην τὴν τοῦ Ἡφαίστου* cet. Tim. 60. A: *ὅσα ἔμπυρα εἴδη.* Legg. III. 679. A: *σκευῶν ἐμπύρων τε καὶ ἀπύρων.* Polit. 287. E: *ἐμπύροις καὶ ἀπύροις.*

ἐμφαίνω, ostendo, declaro. Demod. 383. D: *πῶς ... ἐμφαίνουσι.* E: *εἴπερ λέγοντες ἐμφαίνουσιν.* Tim. 71. B: *ὁπότε ... χολώδη χρώματα ἐμφαίνοι.* Med. *me exhibeo, appareo.* Tim. 46. B: *πάντα τὰ τοιαῦτα ἐξ ἀνάγκης ἐμφαίνεται.* Alc. I. 132. E: *ὅτι ... τὸ πρόσωπον ἐμφαίνεται ἐν τῇ τοῦ κατάντικρυ ὄψει.* Pol. III. 402. B: *εἴ που ... ἐν κατόπτροις ἐμφαίνοιντο.* IV. 432. E: *ἐὰν δέ τι ἄλλο ἐν τῷ ἐνὶ ἐμφαίνηται.*

ἐμφανής, ὁ ἡ, manifestus, perspicuus; etiam *lucidus.* Alc. II. 141. A: *εἴ σοι ἐμφανὴς γενόμενος ὁ θεὸς ... ἐρωτήσειε.* Id. 148. A. Polit. 258. D: *ὅταν ἐμφανὲς ἡμῖν γένηται.* Legg. XI. 914. C: *γενομένου ... ἐμφανοῦς.* Theaet.

206. D: τὴν αὑτοῦ διάνοιαν ἐμφανῆ ποιεῖν. Phil. 32. C: ἐν ... τούτοις οἶμαι ... ἐμφανὲς ἔσεσθαι τὸ περὶ τὴν ἡδονήν. Legg. I. 634. C: ἐμφανὲς ... ποιεῖν. Tim. 46. A: πάντα ὅσα ἐμφανῆ καὶ λεῖα. Legg. IX. 855. B: δεσμοῖς ... ἐμφανέσι.

ἐμφανίζω, *patefacio, declaro.* Soph. 244. A: ὑμεῖς αὐτὰ ἡμῖν ἐμφανίζετε ἱκανῶς τί ποτε βούλεσθε σημαίνειν. Tim. 61. C: πειρατέον ἐμφανίζειν ἡμᾶς. Soph. 218. B: ἐμφανίζοντι (ἐμοὶ) λόγῳ τί ποτ' ἐστί. Tim. 49. A: λόγοις ἐμφανίσαι. Demod. 383. D. E. 384. A. Crat. 438. D: ἃ ἡμῖν ἐμφανιεῖ (v. ἐμφανῆ ᾖ) ἄνευ ὀνομάτων. Demod. 383. E: ἑκάτερος εἰπὼν ἐμφανιεῖ. D: ἐμφανιοῦσιν. E. 384. A: εἴπερ ἀμφότεροι ἐμφανιοῦσι. Tim. 65. C: ἐμφανιστέον ᾗ δυνατόν.

ἐμφανισμός, ὁ, *declaratio.* Def. 413. D: προθυμία ἐμφανισμὸς προαιρέσεως πρακτικῆς.

ἐμφανιστικός, ή, όν, *declarans.* Def. 414. E: λόγος ἐμφανιστ.

ἐμφανῶς, *dilucide.* Phil. 31. E: ἐμφανέστερον ... λέγειν.

ἐμφράττω, *intersepio.* Tim. 71. C: ἐμφράττουσα.

ἐμφρόνως, *prudenter.* Phil. 23. A: ὡς ἐμφρόνως οὐκ ἀντεποιεῖτο τῶν νικητηρίων. 64. A. Pol. III. 396. C: τὸν ἀγαθὸν ἀσφαλῶς τε καὶ ἐμφρόνως πράττοντα. VII. 517. C: τὸν μέλλοντα ἐμφρόνως πράξειν. Legg. VII. 813. C: αἰδούμενος ἐμφρόνως. X. 897. D: ἀποκρινόμενον εἰπεῖν ἐμφρόνως.

ἔμφρων, ὁ ἡ, *mentis compos, sobrius; prudens; intelligens.* Phil. 17. E: οὕτως ἔμφρων περὶ τοῦτο γέγονας. Conv. 221. A: τῷ ἔμφρων εἶναι. Critia 107. A: τίς ἂν ἐπιχειρήσειεν ἔμφρων λέγειν; Legg. IV. 719. C: ὅτι ποιητὴς ... οὐκ ἔμφρων ἐστίν. V. 729. B: ὁ ... ἔμφρων νομοθέτης. Ion. 535. B: τότε πότερον ἔμφρων εἶ, ἢ ἔξω σαυτοῦ γίγνει —; Legg. VI. 769. A: ἡ πρεσβυτῶν ἔμφρων παιδιά. Men. 88. E: ἡ ἔμφρων (ψυχή). Tim. 36. E: ἔμφρονος βίου. 63. A: οὐκ ἔμφρονος (int. ἐστί). Pol. VII. 521. A: ζωῆς ἀγαθῆς τε καὶ ἔμφρονος. Tim. 46. D: τὰς τῆς ἔμφρονος φύσεως αἰτίας ... μεταδιώκειν. 48. A: ὑπὸ πειθοῦς ἔμφρονος. Legg. VII. 802. C: μέχρι τῆς ... ἔμφρονος ἡλικίας. Legg. II. 669. A: τὸν μέλλοντα ἔμφρονα κριτὴν ἔσεσθαι. XI. 913. A: νοῦν ἔχων ἔμφρονα. Ion. 535. C. Ep. VII. 332. E: ἑαυτὸν ἔμφρονά τε καὶ σώφρονα ἀπεργασάμενος. Legg. III. 693. B: ὅτι τὴν πόλιν ἐλευθέραν τε εἶναι δεῖ καὶ ἔμφρονα cet. Epin. 982. D: ὡς τὸ ... ἀνθρώπινον ἔμφρον καὶ ζῶν ὡς κινούμενον ὑπολαβεῖν. E. Conv. 194. B: ὅτι νοῦν ἔχοντι ὀλίγοι ἔμφρονες πολλῶν ἀφρόνων φοβερώτεροι. Ion. 534. A: ὥσπερ οἱ κορυβαντιῶντες οὐκ ἔμφρονες ὄντες ὀρχοῦνται. Ib. ἔμφρονες ... οὖσαι. Tim. 75. A: ὅσα δ' ἔμφρονα. Phaedr. 244. C: τήν γε τῶν ἐμφρόνων ζήτησιν τοῦ μέλλοντος. Legg. VI. 775. C: τὸ γεννώμενον ὅπως ὅτι μάλιστα ἐξ ἐμφρόνων

ἀεὶ γίγνηται. Epin. 987. A: σαφῶς οὐκ ἐμφρόνων. De lucri cup. 226. C: τῶν δημιουργῶν ἢ τῶν ἄλλων τῶν ἐμφρόνων ἀνδρῶν (ubi vern. est *kundig*). Polit. 297. A: τοῖς ἔμφροσιν ἄρχουσιν. Tim. 80. B. Legg. VI. 773. A: τοὺς παρὰ τοῖς ἔμφροσιν εὐδόξους γάμους χρὴ γαμεῖν. VII. 809. D: (ἵνα) τοὺς ... ἀνθρώπους περὶ αὐτὰ μᾶλλον ἔμφρονας ἀπεργάζωνται. 791. B: ἀντὶ μανικῶν ... διαθέσεως ἕξεις ἔμφρονας ἔχειν.

ἐμφύλιος, ὁ ἡ, *gentilis*. Pol. VIII. 565. E: ἐμφυλίου αἵματος. Legg. IX. 871. A: ὃς ἂν ... ὁντιναοῦν τῶν ἐμφυλίων αὐτόχειρ κτείνῃ.

ἐμφυτεύω, *infero*. Tim. 70. C: τὴν τοῦ πλεύμονος ἰδέαν ἐνεφύτευσαν. 42. A: ὁπότε ... σώμασιν ἐμφυτευθεῖεν ἐξ ἀνάγκης.

ἔμφυτος, ὁ ἡ, *insitus, naturalis*. Conv. 191. C: ἔστι ... ἐκ τόσου ὁ ἔρως ἔμφυτος ἀλλήλων τοῖς ἀνθρώποις. Phaedr. 237. D: ἡ μὲν ἔμφυτος οὖσα ἐπιθυμία ἡδονῶν. Polit. 269. D: ἐξ ἀνάγκης ἔμφυτον γέγονεν. Tim. 71. A. Legg. V. 731. D. Eryx. 398. C: πότερον δέ σοι ... δοκεῖ εἶναι διδακτὸν ἡ ἀρετή, ἢ ἔμφυτον; Pol. V. 458. D: ὑπ' ἀνάγκης ... τῆς ἐμφύτου. Legg. VI. 782. E: ἣν πέρι ἅπασαν (ἐδωδὴν) πᾶν ζῶον ἔμφυτον ἔρωτα ἔχον. Pol. X. 610. A: τὸ ἔμφυτον κακόν. Legg. II. 654. A: τὸ παρὰ τῆς χαρᾶς ἔμφυτον ὄνομα.

ἐμφύω, *ingenero*; perf. aor. 2. et pass. *innascor, exsisto in aliquo*. Tim. 57. C: τοῦ ... ἐν τοῖς εἴδεσιν αὐτῶν ἕτερα ἐμπεφυκέναι γένη cet. Legg. IX. 863. B: δύσμαχον κτῆμα ἐμπεφυκός. V. 736. A: ὡς νοσήματι πόλεως ἐμπεφυκότι. Phaedr. 278. B: εἴ τινες τούτων ἔκγονοι ... ἐν ἄλλαις ἄλλων ψυχαῖς ... ἐνέφυσαν. Polit. 301. E: οἷος ἐν σμήνεσιν ἐμφύεται. Pol. V. 564. D: ἓν ... τὸ τοιοῦτον γένος ἐν αὐτῇ ἐμφύεται. Legg. VII. 792. E. Pol. II. 572. E: ὅπῃ ποτὲ ταῖς πόλεσιν ἐμφύονται. VII. 520. B: αὐτόματοι ... ἐμφύονται. 791. D: τίνα οὖν ἂν τρόπον εὐθὺς ἐμφύοιθ' ἡμῖν ὁπότερον βουληθεῖμεν τῷ νεογενεῖ. Phaed. 83. D: ὥσπερ σπειρομένη ἐμφύεσθαι. Polit. 310. A: τοῖς δ' εὐγενέσι ... ἤθεσι ... μόνοις διὰ νόμων ἐμφύεσθαι. Legg. IX. 853. B. 854. B: οἶστρος ... τις ἐμφυόμενος ἐκ παλαιῶν ... τοῖς ἀνθρώποις ἀδικημάτων. Pol. VIII. 562. E: τὴν ἀναρχίαν ἐμφυομένην. Legg. VIII. 836. D: πότερον ἐν τῇ τοῦ πεισθέντος ψυχῇ γιγνόμενον ἐμφύσεται τὸ τῆς ἀνδρείας ἦθος cet.

ἔμψυχος, ὁ ἡ, *animatus, spirans*. Tim. 91. B: ἅτ' ἔμψυχος ὤν. Def. 415. A: οὐσία ἔμψυχος. Phaedr. 245. E: ᾧ δὲ (σώματι) ἔνδοθεν αὐτῷ ἐξ αὑτοῦ (τὸ κινεῖσθαι), ἔμψυχον. Phil. 30. A: εἴπερ μὴ τό γε τοῦ παντὸς σῶμα ἔμψυχον ὂν ἐτύγχανε. Epin. 983. B: ἔμψυχον ... οὔποτε γένοιτ' ἂν ἑτέρως πλὴν διὰ θεόν. Legg. X. 902. B: τῆς ... ἐμψύχου μετέχει φύσεως. Soph. 219. E: ἐμψύχου (γένους).

Phil. 64. B: ἐμψύχου σώματος. Phaedr. 276. A: τὸν τοῦ εἰδότος λόγον λέγεις ζῶντα καὶ ἔμψυχον. Soph. 227. B: σῶμα ... ἔμψυχον. 246. E. Phil. 32. B: τὸ ἐκ τῆς (τε?) ἀπείρου καὶ πέρατος κατὰ φύσιν ἔμψυχον γεγονὸς εἶδος. Tim. 30. B: ζῶον ἔμψυχον (κόσμον). 91. A. Legg. X. 903. E: ὕδωρ ἔμψυχον. Polit. 261. B: τὰ μὲν ἔμψυχα αὐτῶν ἐστὶ ... τὰ δ' ἄψυχα. Phil. 21. C. Legg. XI. 931. E: τὰ ... θεραπευόμενα ὑφ' ἡμῶν ὅσα ἔμψυχα. Soph. 220. A: τῶν ἐμψύχων ζώων. Polit. 288. D: ἐμψύχων ... σωμάτων. Phil. 43. B. Legg. VI. 782. C: ἐμψύχων ... πάντων ἀπεχόμενοι. VIII. 830. B. Tim. 38. E: δεσμοῖς ... ἐμψύχοις. Legg. X. 906. B: ἐν ταῖς τῶν θεῶν ἐμψύχοις οἰκοῦσαι δυνάμεσι. XI. 931. A: τοὺς ἐμψύχους θεούς. X. 904. A: ἐμψύχους οὔσας τὰς πράξεις ἁπάσας. Epin. 982. C: ὅτι γε δικαίως ἔμψυχα αὐτὰ (τὰ ἄστρα) λέγομεν. Tim. 74. E: ὅσα ... ἐμψυχότατα τῶν ὀστῶν ἦν.

ἐμῶ, *vomo.* Phaedr. 268. B: ἐμεῖν ποιεῖν.

ἐν, *in.* Prot. 339. C: ἔν γε τῇδε τῇ πόλει. Gorg. 513. C: ἐνὼν ἐν τῇ ψυχῇ τῇ σῇ. Theaet. 206. A: ἐν τῇ τῶν γραμμάτων μαθήσει. Soph. 222. A: τἀν τούτοις ζῶα θηρευσόμενος. Ib. τἀν τούτοις θρέμματα χειρωσόμενος. Pol. VI. 499. C: ἔν τινι βαρβαρικῷ τόπῳ. sexc. al. In loco est *ad* (vern. *bei*, *vor*). Crat. 395. A: ἡ ἐν Τροίᾳ μονή. Conv. 221. A: ἐν Ποτιδαίᾳ. Pol. IX. 586. C: ὑπὸ τῶν ἐν Τροίᾳ. Charm. 153. B: μάχη ἐγεγόνει ἐν τῇ Ποτιδαίᾳ. Menex. 241. C: τὸ ἐν Πλαταιαῖς ἔργον. 242. A. B. Legg. I. 624. B: ἀνάπαυλαι ... ἐν τοῖς ὑψηλοῖς δένδρεσίν εἰσι σκιαραί. — Cum genit. (int. οἴκῳ, ut ἐν Ἄιδου). Prot. 320. A: ἐν Ἀρίφρονος ἐπαίδευε. Theaet. 206. A.: ἐν ... κιθαριστοῦ ... μεμαθηκέναι cet. Etiam c. pron. Charm. 155. D: οὐκέτ' ἐν ἐμαυτοῦ (*bei mir.* Vulgo ἐν ἐμαυτῷ) ἦν. — In tempore pos. est *intra* (vern. *während*, etiam *bei*). Phaedr. 228. A: ἐν πολλῷ χρόνῳ. Phaed. 58. B: ἐν τῷ χρόνῳ τούτῳ. Theaet. 155. B: ἐν ἐνιαυτῷ. Phaed. 107. E: δεῦρο ... πάλιν ... κομίζει ἐν πολλαῖς χρόνου καὶ μακραῖς περιόδοις. Menex. 240. B: τούτους ἐχειρώσατο ... ἐν τρισὶν ἡμέραις. Similiter Phaed. 77. E: ὅταν τύχῃ τις μὴ ἐν νηνεμίᾳ, ἀλλ' ἐν μεγάλῳ τινὶ πνεύματι ἀποθνήσκων. 115. E: μηδὲ λέγῃ ἐν τῇ ταφῇ. — In tempore, loco et conditione ponitur praecipue c. pronominibus, ut ἐν τῷ αὐτῷ (*una*, *simul.* Prot. 336. A. Gorg. 465. D. 490. B. Phaed. 79. E. Conv. 192. D. al.), ἐν τούτῳ (*interea*; etiam *tum.* Prot. 317. E: ἐν δὲ τούτῳ Καλλίας ... ἡκέτην cet. Pol. IV. 440. C: οὐκ ἐν τούτῳ ζεῖ cet. VIII. 544. B. Lys. 211. A: καὶ ἐν τούτῳ ὁ Μενέξενος πάλιν ἧκε. Euthyd. 275. E. 276. E.), ἐν τούτοις (*tum.* Conv. 220. B: οὗτος δ' ἐν τούτοις ἐξῄει cet. Tim. 42. C: μὴ παυόμενος δὲ ἐν τούτοις ἔτι κακίας. Cum v. πᾶσι: Pol. X. 603. C. Legg. V. 728. B.); etiam ἐν τῷ τοιούτῳ (Pol. III. 393. C.), ἐν ᾧ, *dum*; *quamdiu.*

Phaed. 67. A: ἐν ᾧ ἂν ζῶμεν. Theaet. 190. E: ἐν ᾧ ἀποροῦμεν. 196. E: ἐν ᾧ ἔτι ἐπιστήμην ἀγνοοῦμεν. Conv. 185. D: ἐν ᾧ δ' ἂν ἐγὼ λέγω. 207. D. Pol. VI. 498. B. VII. 516. E. Etiam vern. *in welchem Falle, wo dann.* Pol. I. 340. E: ἐν ᾧ (i. q. ὅταν ἁμαρτάνῃ) οὐκ ἔστι δημιουργός. V. 455. E. **in* (vern. *an*). Soph. 238. D: οὐδὲν δεῖ τὸ σαφέστερον ἐν ἐμοὶ σκοπεῖν. 239. B: ἐν σοὶ σκεψώμεθα. 256. C: ἐν οἷς προὐθέμεθα σκοπεῖν. Phil. 21. B: οὐκοῦν ἐν σοὶ πειρώμεθα βασανίζοντες ταῦτα; Pol. III. 392. E: ἐν τούτῳ δηλῶσαι. Men. 82. B: ἵνα ἐν τούτῳ σοι ἐπιδείξωμαι. **inter.* Prot. init. ὡς γ' ἐν αὐτοῖς ἡμῖν εἰρῆσθαι. Pol. IX. 589. A: ἐᾶν αὐτὰ ἐν αὐτοῖς δάκνεσθαι. **apud, coram.* Prot. 335. A: οὐδ' ἂν ἐγένετο Πρωταγόρου ὄνομα ἐν τοῖς Ἕλλησιν. 337. B: ὑμεῖς ... οἱ λέγοντες μάλιστ' ἂν οὕτως ἐν ἡμῖν τοῖς ἀκούουσιν εὐδοκιμοῖτε. Gorg. 459. A: οὐκοῦν ἐν ὄχλῳ τοῦτό ἐστιν ἐν τοῖς μὴ εἰδόσιν; 464. D: εἰ δέοι ἐν παισὶ διαγωνίζεσθαι ὀψοποιόν τε καὶ ἰατρόν cet. 508. A: καὶ ἐν θεοῖς καὶ ἐν ἀνθρώποις (Id. Conv. 178. A. al.). 521. E. Phil. 65. B. Conv. 209. E: καὶ ἐν Ἕλλησι καὶ ἐν βαρβάροις. Pol. IV. 428. D: ἐν τίσιν (antec. παρά τισι); Ib. ἐν τούτοις τοῖς ἄρχουσιν cet. V. 450. D: ἐν ... φρονίμοις τε καὶ φίλοις περὶ τῶν μεγίστων ... τἀληθῆ εἰδότα λέγειν ἀσφαλὲς καὶ θαῤῥαλέον. VIII. 565. B: λέγοντες ... ἐν τῷ δήμῳ. X. 600. B: διαφανεῖς ... ἐν τοῖς ἄλλοις. Legg. X. 886. E: οἷον κατηγορήσαντός τινος ἐν ἀσεβέσιν ἀνθρώποις ἡμῶν. XI. 916. B: δικαζέσθω ... ἔν τισι τῶν ἰατρῶν. 920. D: ἐν διαιτηταῖς ἢ γείτοσιν. Alc. I. 122. E: ἐν πᾶσιν Ἕλλησιν. Similiter c. pron., ut ἐν ἐμαυτῷ (*mecum*, vern. *bei mir*). Theaet. 192. D: ἐν ἐμαυτῷ μεμνημένος οἷός ἐστι. Ib. ἐπίσταμαι αὐτὸς ἐν ἐμαυτῷ. 193. A: οὐκ ἄν ποτε ἐν ἑαυτῷ δοξάσειεν ὡς cet. Crat. 384. A: προσποιούμενός τι αὐτὸς ἐν ἑαυτῷ διανοεῖσθαι. — Instrumentum vel causam indicat, ita ut Lat. praep. *per* vel ablativo exprimi possit. Phaed. 95. D: καὶ τελευταῖόν γε ἐν τῷ καλουμένῳ θανάτῳ ἀπολλύοιτο. Theaet. 206. A: ἔν τε τῇ ὄψει διαγιγνώσκειν πειρώμενος καὶ ἐν τῇ ἀκοῇ αὐτὸ καθ' αὑτὸ ἕκαστον. Conv. 121. A: ἀλλ' ἐν τῇ πράξει, ὡς ἂν πραχθῇ, τοιοῦτον ἀπέβη. Legg. II. 660. A: ἐν τοῖς καλοῖς ῥήμασι ... πείσει. III. 680. D: ὑπὸ ἀπορίας τῆς ἐν ταῖς φθοραῖς. VI. 760. E: ἐν οἰκοδομήμασιν ... εἴργοντας cet. X. 910: ἔν τε φάσμασιν ἐγρηγορότας διὰ φόβους καὶ ἐν ὀνείροις. XI. 934. A: ἐν φόβοις ... ἤ τισιν ἐπιθυμίαις cet. *Propter* verti potest. Legg. IX. 881. E: ἐν τούτῳ αὐτῷ. — Etiam rationem (quam posteriores dixerunt relationem) indicat: *ad* (vern. *in Betreff*). Theaet. 158. E: ταὐτόν τι ἔχειν ἢ ἐν δυνάμει ἢ ἐν ἄλλῳ ὁτῳοῦν. Pol. X. 601. D: οἷα ἀγαθὰ ἢ κακὰ ποιεῖ εἰ τῇ χρείᾳ ᾧ χρῆται. Legg. XII. 953. C: καλὸν (τι) ... τῶν ἐν ταῖς ἄλλαις πόλεσι διαφέρον ἐν καλλοναῖς. Hipp. min. 369. E: ὅτι ἐν τοῖς ἔπεσιν ... ἄτοπόν

μοι δοκεῖ εἶναι εἰ σὺ ἀληθῆ λέγεις cet. *Pro.* Legg. VI. 753. B: *ὁπόσοιπερ ἂν ... πολέμου κεκοινωνήκωσιν ἐν ταῖς σφετέραις αὐτῶν τῆς ἡλικίας δυνάμεσι. Secundum.* Critia 121. B: *ἐν νόμοις βασιλεύων.* Legg. IX. 874. C: *ἔστω καθαρὸς ἐν τῷ νόμῳ.* XI. 917. B: *τοὺς θεοὺς παρακαλῶν ἐπόμνυσιν ἐν τοῖς τῶν ἀγορανόμων νόμοισί τε καὶ φυλακτηρίοις.* Est quoque ut verti possit v. germ. *als.* Gorg. 512. C: *ὡς ἐν ὀνείδει ἀποκαλέσαις ἂν μηχανοποιόν.* Legg. X. 887. D: *οἷον ἐν ἐπῳδαῖς ... λεγομένων* (v. *λεγομένους*). 899. A: *εἴτε ἐν ἅρμασιν ἔχουσα (ἡ ψυχὴ) ἡμῖν ἥλιον ἄγει φῶς τοῖς ἅπασιν* cet. XI. 913. B: *ἐν οὐσίᾳ κεκτῆσθαι.* Porro ponitur ubi Lat. simpl. genit. vel ablat. usurpant. Polit. 259. E: *τὴν ἐν τοῖς ἀριθμοῖς διαφοράν.* Lach. 190. D: *ἡ ἐν τοῖς ὅπλοις μάθησις.* Prot. 324. E: *ἐν τούτῳ ... αὕτη λύεται ἡ ἀπορία* cet. Gorg. 499. D: *ἃς ... ἐλέγομεν ἐν τῷ ἐσθίειν καὶ πίνειν ἡδονάς.* Soph. 246. B: *κατὰ σμικρὰ διαθραύοντες ἐν τοῖς λόγοις* (*disputando*). 254. C: *ἵνα μὴ ταραττώμεθα ἐν πολλοῖς.* Polit. 295. A: *ἐν γράμμασιν ἀποδιδούς.* Crat. 404. A: *ἐν τοῖς δεσμοῖς δήσας.* Pol. VII. 517. A: *εἴ πως ἐν ταῖς χερσὶ δύναιντο λαβεῖν.* VIII. 567. C: *ἐν μακαρίᾳ ... ἀνάγκῃ δέδεται.* Legg. I. 647. A: *ἐν τιμῇ μεγίστῃ σέβει.* IX. 882. B: *δήσας ἐν πέδαις.* Euthyd. 272. A: *ἐν τοῖς λόγοις* (*verbis*) *μάχεσθαι.* Similiter ponitur ubi nos frequentamus praep. *mit* (i. q. *habens* vel *instructus*). Gorg. 452. E: *καίτοι ἐν ταύτῃ τῇ δυνάμει δοῦλον ... ἕξεις τὸν ἰατρόν.* — Cum adiect. iunctum adiectivi vel adverbii partes agit. Prot. 334. E: *ὥστε μηδένα σοῦ ἐν βραχυτέροις εἰπεῖν.* Id. Gorg. 449. C. Pol. IX. 571. B: *οὐκοῦν ... ἔτι ἐν καλῷ* (*opportunum*, int. tempus est); — Cum v. *εἶναι*, vid. h. v. Etiam omisso partic. huius verbi. Soph. 229. E. D: *τῆς ἐν τοῖς λόγοις* (*quae in sermonibus versatur*) *διδασκαλικῆς ἡ μὲν* cet. Pol. VI. 489. B: *οἱ ἐπιεικέστατοι τῶν ἐν φιλοσοφίᾳ.* VII. 581. B: *ταὐτὸν ... ποιοῦσι τοῖς ἐν τῇ ἀστρονομίᾳ.* Etiam cum subst., praemisso artic., ita iungitur ut adiectivo possit exprimi. Phaedr. 276. D: *τοὺς ... ἐν γράμμασι* (*litteratos*) *κήπους ... σπερεῖ.* Soph. 234. E: *τὰ ἐν τοῖς λόγοις* (*oratoria*) *φαντάσματα.* 235. B: *τῶν ἐν τοῖς λόγοις περὶ τὰ τοιαῦτα ὀργάνων.* 268. D. Conv. 218. A: *ὑπὸ τῶν ἐν φιλοσοφίᾳ λόγων.* — Ex eadem participii verbi *εἶναι* omissione nata videtur loquutio *ἐν τοῖς* cum superl., ut *ἐν τοῖς μάλιστα* (proprie: *in eis qui sunt vel fuerunt, maxime*, h. e. *omnium maxime*). Conv. 173. B: *Σωκράτους ἐραστὴς ὢν ἐν τοῖς μάλιστα τῶν τότε.* Theaet. 186. A. Crit. 52. A. Conv. 178. A: *τὸ ... ἐν τοῖς πρεσβύτατον* (vern. *der allerälteste*) *εἶναι τὸν θεὸν τίμιον.* C: *ἐν τοῖς πρεσβύτατος* (v. *πρεσβυτάτοις*) *εἶναι.* Epin. 987. D: *ὡς τόπον ἔχομεν ... ἐν τοῖς σχεδὸν ἄριστον.* Men. 93. E: *ὃν καὶ σὺ ὁμολογεῖς ἐν τοῖς ἄριστον* (v. *ἀρίστοις*) *τῶν πρότερον εἶναι.* Ep. X. 358. B: *ἐν τοῖς μάλιστα ἑταῖρον εἶναι.* Crat. 427. E: *ὁ δὴ*

δοκεῖ ἐν τοῖς μέγιστον (sic Ξ a pr. m. Vulgo *ἐν τοῖς μεγίστοις μέγιστον*) *εἶναι*. In univ. superlativum exaggerat (ut Lat. *omnium*). Phil. 53. A: *τὸ λευκὸν ἐν τοῖς πρῶτον* (v. *πρώτοις*) ... *θεασώμεθα γένος*. Crit. 43. C: *ἣν ἐγὼ ... ἐν τοῖς βαρύτατ' ἂν ἐνέγκαιμι*. Alius generis est *ἐν τοῖς* cum superlativo sq. cohaerens (Lach. 181. B. *ἐν τοῖς ... εὐνουστάτοις σοι εἶναι*. Menex. 240. B: *οἳ ... ἐν τοῖς εὐδοκιμωτάτοις ἦσαν*. Euthyd. 305. A: *ἐν τοῖς κρατίστοις εἰσὶ τῶν νῦν*) et *ἐν δὲ τοῖς* (Euthyd. 303. C: *ἐν δὲ τοῖς καὶ τοῦτο μεγαλοπρεπέστερον*). — Denique verbis motum indicantibus adiungitur, ita ut pro *εἰς* videatur positum esse. Soph. 260. C: *τὸν ... σοφιστὴν ἔφαμεν ἐν τούτῳ ... τῷ τόπῳ καταπεφευγέναι* (plene: *in hunc locum confugisse in eoque latere*). Legg. X. 950. A: *ἐν Ἅιδου διαπορευθείς*. Menex. 242. A: *ὃ καὶ τήνδε τὴν πόλιν ἄκουσαν ἐν πολέμῳ τοῖς Ἕλλησιν κατέστησε*.

ἐναγής, ὁ ἡ, *scelestus*. Locr. 104. D: *τὼς ἐναγέας* (v. *ἐναγέως*).

ἔναγχος, *nuper*. Phaedr. 257. C: *καὶ γάρ τις αὐτὸν ... ἔναγχος ... ὠνείδιζε*. Gorg. 462. B: *ὃ ἐγὼ ἔναγχος ἀνέγνων*. Theaet. 147. C. Conv. 172. A. Charm. 155. B. al.

ἐνάγω, *deduco, defero*. Locr. 99. E: *ὧν τὰς ψυχὰς ... ἐνάγαγε τὰς μὲν ἀπὸ σελάνας* cet.

ἐναέριος, ὁ ἡ, *in aëre vivens*. Locr. 101. C: *τῶν ἐναερίων ζώων*.

ἔναιμος, ὁ ἡ, *sanguineus*. Tim. 68. B: *χρῶμα ἔναιμον*. 81. A: *τὰ ... ἔναιμα*.

ἐνάκις vel *ἐννάκις*, *novies*. Critia 108. E: *ἐνάκις* (v. *ἐννάκις*) *ἔτη χίλια* (Bekk. *χίλια ἔτη*).

ἐνακισχίλιοι, αι, α, *novies mille*. Tim. 23. E: *περὶ ... τῶν ἐνακισχίλια* (v. *ἐννακισχίλια*) *ἔτη γεγονότων πολιτῶν*. Critia 111. A: *ἐν τοῖς ἐνακισχιλίοις* (v. *ἐννακ.*) *ἔτεσι*.

ἐναλείφω, *illino*. Pol. IV. 420. C: *οἱ ... ὀφθαλμοὶ ... οὐκ ὀστρείῳ ἐναληλιμμένοι εἶεν*.

ἐναλίγκιος, ὁ ἡ, *similis*. Soph. 244. E. (Parmen.).

ἐναλλαγή, ἡ, *vicissitudo*. Locr. 99. B: *κατ' ἐναλλαγάν* (*vicissim*).

ἐναλλάξ, *alternis*. Critia 113. D: *θαλάττης γῆς τε ἐναλλὰξ ἐλάττους μείζους τε ... ποιῶν τροχούς*. 119. D.

ἐνάμιλλος, ὁ ἡ, *certans, contendens*. Prot. 316. C: *ἐνάμιλλος τοῖς ἡλικιώταις*. Pol. IV. 433. D: *ἐνάμιλλον ... πρὸς ἀρετὴν πόλεως τῇ ... σοφίᾳ αὐτῆς ... ἡ τοῦ ἕκαστον ἐν αὐτῇ τὰ αὑτοῦ πράττειν δύναμις*. Critia 110. E: *ἐνάμιλλόν ἐστι πρὸς ἥντινοῦν τῷ πάμφορον ... εἶναι*. Pol. IV. 433. D: *οὐκοῦν δικαιοσύνην τό γε τούτοις ἐνάμιλλον ἂν εἰς ἀρετὴν πόλεως θείης;*

ἐναντιολογία, ἡ, *repugnantia*. Soph. 236. E: *ἐναντιολογίᾳ* (v. *ἐν ἀντιλογίᾳ*) *μὴ συνέχεσθαι*.

ἐναντιολογῶ, *pugno* (vern. *widersprechen*). Soph. 268. B: *ἐναντιολογεῖν αὐτὸν αὑτῷ.*

ἐναντίον, *adversus* (vern. *gegenüber*); hinc c. genit. *coram*, *praesente* (aliquo) vel *apud* (vern. *vor*). Prot. 317. C: *ἁπάντων ἐναντίον τῶν ἔνδον ὄντων τὸν λόγον ποιεῖσθαι.* 323. Gorg. 487. B: *ἐναντίον πολλῶν ἀνθρώπων.* Phaed. 116. B. Parm. 136. D: *πολλῶν ἐναντίον λέγειν.* Crat. 427. D: *ἐναντίον Σωκράτους εἰπέ.* Conv. 214. E: *ὑμῶν ἐναντίον.* Pol. II. 360. D: *ἀλλήλων ἐναντίον.* Legg. VI. 756. A: *ἐναντίον ὁρώντων τῶν πεζῶν.* XI. 917. A. D. 928. D. al. Hipp. min. 307. D. *ἐναντίον τῆς στρατιᾶς ἁπάσης.* al. — *ἐναντία*, cum dat., *adversus*. Conv. 194. B: *βλέψαντες ἐναντία τοσούτῳ θεάτρῳ* (v. *τοσούτου θεάτρου*). Pol. VI. 492. D: *ἐναντία τούτοις τείνοντας* (*λόγους*). — Cum artic. est *contra* (etiam *contrario modo*); *vicissim* vel *rursus*. Phaedr. 268. D: *οἰκτρὰς καὶ τοὐναντίον αὖ φοβερὰς* (*ῥήσεις*). Prot. 360. B: *οἱ μαινόμενοι τοὐναντίον αἰσχροὺς τε φόβους φοβοῦνται* cet. Gorg. 468. B: *καὶ βαδίζομεν καὶ τὸ ἐναντίον ἕσταμεν.* Theaet. 162. D: *τοὐναντίον ... μεταπέπτωκεν.* Crat. 432. B. Phil. 12. A: *τῆς ... ὁμολογίας ἢ καὶ τοὐναντίον.* 33. B: *οὔτε χαίρειν οὔτε τὸ ἐναντίον.* Pol. III. 410. C: *ὅσοι ἂν τοὐναντίον διατεθῶσιν.* VII. 520. E: *τοὐναντίον τῶν νῦν ... ἀρχόντων.* Legg. III. 689. D: *τοὺς ... τοὐναντίον ἔχοντας τούτων.* V. 732. B: *ὥσπερ ... τινος ἀποῤῥέοντος ἀεὶ δεῖ τοὐναντίον ἐπιῤῥεῖν.* Apol. 25. B: *ἢ τοὐναντίον τούτου πᾶν* cet. Id. 34. A. Men. 91. C. — Cum v. *πᾶν* (vern. *gerade umgekehrt*). Gorg. 515. E: *εἰ λέγονται Ἀθηναῖοι βελτίους γεγονέναι, ἢ πᾶν τοὐναντίον διαφθαρῆναι.* Theaet. 158. A. 190. B. Pol. VI. 490. B: *ἀγαπᾶν, ἢ πᾶν τοὐναντίον μισεῖν.* IX. 576. D. X. 610. D. Legg. VIII. 836. D: *μᾶλλον δὲ ἅπαν τούτου τοὐναντίον* cet. 840. C: *ἡττωμένους τε τοὐναντίον ἅπαν* (*ζῆν*). XII. 967. A: *πᾶν ... τοὐναντίον ἔχει νῦν τε καὶ ὅτε* cet. Hipp. mai. 294. D. Sq. *ἤ*. Pol. IV. 425. A: *πάλιν τοὐναντίον ἢ ἐκείνοις εἰς πάντα ξυνέπεται.* VI. 497. E: *ὅτι τοὐναντίον ἢ νῦν δεῖ ... ἅπτεσθαι.* — Plur. Phil. 28. D: *ἢ τἀναντία ... νοῦν ... διακυβερνᾶν.* Pol. I. 354. A. V. 476. C: *τἀναντία τούτων.* VII. 535. D: *τἀναντία τούτου.* Tim. 43. D: *τἀναντία αὐτῇ ῥέουσαι.* Legg. I. 636. E: *τἀναντία ἂν ἐκείνῳ ζῴη.* XI. 931. E. Men. 71. B: *εἴτε καὶ τἀναντία τούτων.*

ἐναντιοῦμαι, *adversor*; *pugno*; etiam *veto*. Crat. 419. A: *καὶ οὕτως οὐκ ἐναντιοῦται αὐτὸς αὑτῷ ὁ τὰ ὀνόματα τιθέμενος.* Apol. 31. D: *τοῦτ᾽ ἔστιν ὅ μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν.* Alc. I. 103. B: *ἐπειδὴ οὐκέτι ἐναντιοῦται.* Theag. 129. E: *πολλοῖς ... ἐναντιοῦται.* Legg. VIII. 836. B: *περὶ ... τῶν ἐρώτων ... ἐναντιοῦνται παντάπασιν.* Charm. 176. D: *μηδὲ σὺ ἐναντιοῦ.* Pol. V. 455. C: *τῷ δὲ*

ἐναντιοῖτο. Legg. III. 689. B: *ὅταν ... ἐπιστήμαις ἢ δόξαις ... ἐναντιῶται.* Gorg. 481. E: *τοῖς ... τῶν παιδικῶν βουλεύμασι ... οὐχ οἷός τ' εἶ ἐναντιοῦσθαι.* Phaed. 83. B: *ταύτῃ ... τῇ λύσει οὐκ οἰομένη δεῖν ἐναντιοῦσθαι ἡ τοῦ ὡς ἀληθῶς φιλοσόφου ψυχὴ* cet. Crat. 390. E: *ὅπως χρὴ πρὸς ἃ λέγεις ἐναντιοῦσθαι.* Legg. III. 694. D. Apol. 31. D. E: *ἐναντιούμενος καὶ διακωλύων* cet. Lach. 197. A. Phaed. 94. C: *ἐναντιουμένη ὀλίγου πάντα.* Apol. 40. A. Pol. X. 603. A: *τὸ .. τούτῳ ἐναντιούμενον.* Legg. IX. 877. A. Phaed. 94. B: *πότερον ξυγχωροῦσαν ... ἢ καὶ ἐναντιουμένην;* Ib. *ἄλλα ... μυρία ὁρῶμεν ἐναντιουμένην τὴν ψυχὴν τοῖς κατὰ τὸ σῶμα.* Theaet. 180. E: *ἐναντιούμενοι πᾶσι τούτοις.* Apol. 40. B: *νῦν δὲ ... οὔτ' ἐν λόγῳ ἠναντίωταί μοι.* 32. B: *τότ' ἐγὼ μόνος ... ἐναντιώθην ὑμῖν μηδὲν ποιεῖν παρὰ τοὺς νόμους.* 40. B. C. Theaet. 200. D: *τί ... εἰπόντες ἥκιστ' ἂν ἡμῖν αὐτοῖς ἐναντιωθεῖμεν;* Phaed. 93. A: *ἤ τι ἄλλο ἐναντιωθῆναι τοῖς αὑτῆς μέρεσιν.* Charm. fin. *οὐ τοίνυν ... ἐναντιώσομαι.* Conv. 197. A: *τίς ἐναντιώσεται μὴ οὐχὶ Ἔρωτος εἶναι σοφίαν —;* Alc. I. 103. B: *καὶ τὸ λοιπὸν μὴ ἐναντιώσεσθαι αὐτό (τὸ δαιμόνιον).* Legg. II. 659. B: *ἐναντιωσόμενος τοῖς ... θεαταῖς.* Soph. 252. C: *οἴκοθεν τὸν πολέμιον καὶ ἐναντιωσόμενον ἔχοντες* (prov.).

ἐναντιοποιολογικός, ή, όν, efficiens ut alter secum ipse pugnet. Soph. 268. C: *τὸ ... τῆς ἐναντιοποιολογικῆς εἰρωνικοῦ μέρου ... μιμητικὸν ... μόριον.*

ἐναντίος, α, ον, adversus. Conv. 190. A: *τοῖς προσώποις ἐναντίοις κειμένοις.* Tim. 46. B. 77. E: *δι' ἀλλήλων ἐναντίας (τὰς φλέβας) πλέξαντες.* 43. E. 46. B. **adversarius, infestus.* Lach. 193. A: *τὸν ἐν τῷ ἐναντίῳ στρατοπέδῳ ἐθέλοντα ὑπομένειν.* B. Polit. 306. B: *στάσιν ἐναντίαν ἔχοντε.* Subst. *adversarius* (vern. *Gegner*). Legg. XI. 935. B: *εἰς τό τι γελοῖον περὶ τοῦ ἐναντίου φθέγγεσθαι.* Critia 109. A: *(τὸ) τῶν ἐναντίων οἷς (v. ὡς) διεπολέμησαν.* Pol. V. 471. B: *οὕτω δεῖν πρὸς τοὺς ἐναντίους τοὺς ἡμετέρους πολίτας προςφέρεσθαι.* **contrarius*; etiam *repugnans* (c. gen. et dat.). Phaed. 101. A: *μή τίς σοι ἐναντίος λόγος* (h. e. *repugnantia*) *ἀπαντήσῃ.* Crat. 413. E: *ὅτι οὐ πάσῃ ῥοῇ ἡ ἐναντία ῥοὴ ἀνδρεία ἐστίν.* Pol. III. 394. B: *ὅτι ταύτης ... ἐναντία (διήγησις) γίγνεται, ὅταν* cet. Tim. 60. C. Theaet. 184. C: *τὸ τούτου ἐναντίον.* Soph. 244. A: *τὸ δὲ τούτου γίγνηται πᾶν τοὐναντίον.* Crat. 428. B: *μὴ τούτου πᾶν τοὐναντίον ᾖ.* Phil. 39. E: *ἆρ' οὐ τοὐναντίον ἐκείνῳ;* 42. B. Lys. 215. E: *ἀλλ' αὐτὸ τοὐναντίον εἴη τούτου.* Apol. 39. C: *τὸ δὲ ὑμῖν πολὺ ἐναντίον ἀποβήσεται.* Euth. 5. D: *τὸ ἀνόσιον αὖ τοῦ ... ὁσίου παντὸς ἐναντίον.* Pol. X. 604. B: *ἐναντίας ... ἀγωγῆς γιγνομένης ἐν τῷ ἀνθρώπῳ.* V. 472. C: *εὐδαιμονίας τε πέρι καὶ τοῦ ἐναντίου.* X. 605. D: *ὅτι ἐπὶ τῷ ἐναντίῳ καλλωπιζόμεθα.* Lys. 215. E. Prot. 317.

B: ἐγὼ ... τούτων τὴν ἐναντίαν ἅπασαν ὁδὸν ἐλήλυθα. Crat. 413. E: τὴν ἐναντίαν ῥοήν. Pol. X. 617. A: τὴν ἐναντίαν (φορὰν) τῷ ὅλῳ ... περιφέρεσθαι. Lach. 184. D: τὴν ἐναντίαν ... Λάχης Νικίᾳ ἔθετο. Prot. 354. A: πάλιν ἂν αὐτοὺς τὸ ἐναντίον εἰ ἐροίμεθα. Gorg. 479. D: ἐγὼ ... τοὐναντίον οἰόμενος. Phaed. 94. B: ἐπὶ τοὐναντίον ἕλκειν. Soph. 255. A: μεταβάλλειν ... ἐπὶ τοὐναντίον τῆς αὑτοῦ φύσεως. Polit. 280. E: τοὐναντίον ὑφῇ δρᾶν φαίνεται. Pol. I. 343. A: ὅτι ὁ τοῦ δικαίου λόγος εἰς τοὐναντίον περιειστήκει. Legg. XII. 944. D: τῷ ... εἰς τοὐναντίον ἀφέντι. Sq. ἤ. Phaedr. 275. A. Pol. I. 334. E. 339. E. VIII. 567. C. Legg. I. 644. C: δύο ... κεκτημένον ἐν αὑτῷ ξυμβούλω ἐναντίω. Pol. III. 391. C: ὥστ' ἔχειν ἐν αὑτῷ νοσήματε δύο ἐναντίω ἀλλήλοιν. Ep. VII. 328. B: πολλάκις αὑταῖς ἐναντίαι φερόμεναι (αἱ ἐπιθυμίαι). Prot. 323. D: τὰ καλὰ καὶ τἀναντία τούτοις. Gorg. 482. E: ὡς τὰ πολλὰ ... ταῦτα ἐναντία ἀλλήλοις ἐστίν. Pol. VII. 538. D: ἐναντία τούτων ἐπιτηδεύματα. Legg. V. 733. B: ὅσα ἐναντία ἐστὶ πᾶσι τοῖς τοιούτοις. Pol. VII. 524. D: ἃ ... εἰς τὴν αἴσθησιν ἅμα τοῖς ἐναντίοις ἑαυτοῖς ἐμπίπτει. II. 362. E: τοὺς ἐναντίους λόγους ὧν ὅδε εἶπεν. VII. 520. D: τὴν ... ἐναντίους ἄρχοντας σχοῦσαν (πόλιν). Prot. 339. B: εἰ ἐναντία λέγει αὐτὸς αὑτῷ ὁ ποιητής. Gorg. 482. D. Phil. 58. D: οὔτε σοὶ ... βουλοίμην ἂν ἐναντία τίθεσθαι. Conv. 177. D: οὐδείς σοι ... ἐναντία ψηφιεῖται. 193. B: ᾧ μηδεὶς ἐναντία πραττέτω. Pol. V. 453. C: τἀναντία ὑμῖν αὐτοῖς λέγετε. VII. 536. B: ἐναντία πάντα πράξομεν. Legg. VII. 810. D: στόμασι ... πολλάκις μυρίοις ἐναντία λέγειν. Apol. 27. A: ἐναντί' ἐμαυτῷ λέγοντος. Lach. 188. E: ὁ ... τἀναντία τούτου πράττων. Alc. I. 114. D: νῦν ... μέλλω σε πείθειν τἀναντία οἷς σὺ ἐμὲ οὐκ ἐθέλεις. Pol. VI. 491. D: ἀγαθῷ γάρ που κακὸν ἐναντιώτερον ἢ τῷ μὴ ἀγαθῷ. Legg. II. 663. B: ἐναντιώτατος (λόγος). Pol. VI. 486. A: ἐναντιώτατον ... σμικρολογία ψυχῇ cet. Phil. 12. E. Alc. I. 115. D: θανάτῳ ... ἐναντιώτατον ζωή cet. Lys. 215. E: τὸ ... ἐναντιώτατον τῷ ἐναντιωτάτῳ εἶναι μάλιστα φίλον. Prot. 331. D: ἃ δοκεῖ ἐναντιώτατα εἶναι ἀλλήλοις. Conv. 186. D: ἔστι ... ἔχθιστα τὰ ἐναντιώτατα. Hip. min. 366. A: ἐναντιωτάτους ἀλλήλοις. Soph. 250. A: κίνησιν καὶ στάσιν ἆρ' οὐκ ἐναντιώτατα λέγεις ἀλλήλοις; Phil. 13. A: τῷ πάντα τὰ ἐναντιώτατα ἓν ποιοῦντι. — Adverbiorum instar ponuntur ἐξ ἐναντίας (i. q. ἐξ ἐναντίου, *ex adverso*. Phaed. 113. C: ἀπαντᾷ ... ἐξ ἐναντίας. Tim. 68. A: ἐξ ἐναντίας ἀπαντῶσαν. Legg. X. 893. E. 897. D: ἐξ ἐναντίας οἷον εἰς ἥλιον ἀποβλέποντες. Epin. 990. E.), εἰς τοὐναντίον (Soph. 221. A: κάτωθεν εἰς τοὐναντίον ἄνω ἀνασπώμενον) et κατὰ τἀναντία (*contrarie*. Tim. 36. D. 39. A.).

ἐναντιότης, ἡ, *oppositio, repugnantia* (vern. *der Gegensatz*).

Def. 416. ἐναντιότης ... ἡ πλείστη διάστασις. Theaet. 186. B: τὴν οὐσίαν ... τῆς ἐναντιότητος (i. q. αὐτὴν τὴν ἐναντιότητα). Phaed. 105. A: τὴν τοῦ ἐπιφερομένου ἐναντιότητα. Theaet. 186. B: τὴν ἐναντιότητα πρὸς ἀλλήλω. Lys. 216. B: κατὰ τὴν ἐναντιότητα.

ἐναντιόω, vid. ἐναντιοῦσθαι p. 704 sq.

ἐναντίωμα, τό, *repugnantia.* Pol. VII. 524. E: εἰ δ' ἀεί τι αὐτῷ ἅμα ὁρᾶται ἐναντίωμα. X. 603. D: ὅτι μυρίων τοιούτων ἐναντιωμάτων ἅμα γιγνομένων ἡ ψυχὴ γέμει ἡμῶν. **impedimentum.* Alc. I. 103. A: οὐκ ἀνθρώπειον, ἀλλά τι δαιμόνιον ἐναντίωμα.

ἐναντίως, *contrario modo, contra*; etiam *ex adverso.* Gorg. 457. C: ἐκεῖνος μὲν ... ἐπὶ δικαίᾳ χρείᾳ παρέδωκεν, ὁ δ' ἐναντίως χρῆται. Phaed. 84. A: Πηνελόπης τινὰ ἐναντίως ἱστὸν μεταχειριζομένην. 112. E: τούτου ... καταντικρὺ καὶ ἐναντίως ῥέων Ἀχέρων. C: χωρεῖ ἐναντίως τῷ Πυριφλεγέθοντι. Pol. II. 361. C: ποιητέος ἐναντίως διακείμενος τῷ προτέρῳ. III. 396. C: ὁ ἐναντίως ἐκείνῳ φύς τε καὶ τραφείς. Tim. 64. D: τὸ δ' ἐναντίον τούτοις ἐναντίως. Legg. II. 663. C: τὰ ... ἄδικα τῷ τοῦ δικαίου ἐναντίως φαινόμενα. III. 690. D: ὅτι πεφυκότα πρὸς ἄλληλα ἐναντίως. IV. 719. C: ἐναντίως ἀλλήλοις ἀνθρώπους ... διατιθεμένους. X. 902. C: ἆρ' οὐκ ἐναντίως ἀλλήλοιν ... ἐστὸν πεφυκότε; Euthyd. 278. A: ἐπ' ἀνθρώποις ἐναντίως ἔχουσι. Ep. VII. 343. B: τοῖς ... ἐναντίως καλοῦσι. Hipp. min. 367. D: οὐκ ἐναντιώτατα ἔχει. Sq. ἤ. Theaet. 175. D: τοῖς ... ἐναντίως ἢ ὡς ἀνδραπόδοις τραφεῖσιν ἅπασιν.

ἐναντίωσις, ἡ, *repugnantia, discrepantia*; etiam *altercatio.* Eryx. 397. C: εὐλαβούμενος μὴ πόῤῥωτέρω τις λοιδορία καὶ ἐναντίωσις γένοιτο. Pol. X. 607. C: σημεῖα παλαιᾶς ἐναντιώσεως. V. 454. A: κατ' αὐτὸ τὸ ὄνομα διώκειν τοῦ λεχθέντος τὴν ἐναντίωσιν. Soph. 259. B: ταύταις ... ταῖς ἐναντιώσεσιν εἴτε ἀπιστεῖ τις cet.

ἐναπεργάζομαι, *efficio* vel *exprimo in aliquo*; *iniicio.* Polit. 273. C: ταῦτα ... τοῖς ζώοις ἐναπεργάζεται. Soph. 236. A: τὰς δοξούσας εἶναι καλὰς τοῖς εἰδώλοις ἐναπεργάζονται. Tim. 88. B: ἀμαθίαν ἐναπεργάζονται.

ἐναποδέω, *illigo.* Eryx. 400. A: ὅ τι δέ ἐστι τὸ ἐναποδεδεμένον, οὐδεὶς γιγνώσκει.

ἐναπολαμβάνω, *intercipio, includo.* Tim. 84. D: εἰς τὸ μέσον αὐτοῦ ... ἐναπολαμβάνεται.

ἐνάργεια, ἡ, *perspicuitas.* Polit. 277. C: τὴν ... ἐνάργειαν οὐκ ἀπειληφέναι πω.

ἐναργής, ὁ ἡ, *evidens, clarus, perspicuus*; *certus.* Theaet. 176. C: κακία ἐναργής. 150. D: καὶ τοῦτο ἐναργὲς ὅτι cet. Tim. 39. B: μέτρον ἐναργές τι. Crit. 44. B: ἐναργές (τὸ ἐνύπνιον). Phaedr. 278. A: τό τε ἐναργὲς εἶναι καὶ τέλεον cet. Soph. 250. C: ἐναργές τι ... παρ' ἑαυτῷ βεβαιώσασθαι.

Pol. VI. 484. C: *μηδὲν ἐναργὲς ἐν τῇ ψυχῇ ἔχοντες παράδειγμα.* Ion. 535. C: *ὡς ἐναργές μοι τοῦτο ... τεκμήριον* (v. *τὸ τεκμ.*) *εἶπες.* Pol. VI. 511. A: *καὶ ἐκείνοις πρὸς ἐκεῖνα ὡς ἐναργέσι δεδοξασμένοις.* Theaet. 179. C: *αὐτὰς ἐναργεῖς τε εἶναι καὶ ἐπιστήμας.* Ep. VII. 357. C: *πρὶν ἂν τὰ νῦν ... λεχθέντα ... ἐναργῆ ... ἐξεργάσησθε τελεσθέντα.* Pol. VIII. 545. B: *ὡς ἐναργέστερον ὄν.* II. 533. D: *ἐναργεστέρου* (*ὀνόματος*) ... *ἢ δόξης.* Legg. I. 645. C. Theaet. 206. B: *ἐναργεστέραν ... τὴν γνῶσιν ἔχειν.* Phaed. 96. E: *ἔτι γε τούτων ἐναργέστερα.* Tim. 72. B: *σημεῖα ἐναργέστερα ἔχει.* Phaedr. 250. B: *διὰ τῆς ἐναργεστάτης αἰσθήσεως τῶν ἡμετέρων.* Phaed. 83. C: *τοῦτο ἐναργέστατόν τε εἶναι καὶ ἀληθέστατον.* Theaet. 203. B: *τὰ ἐναργέστατα* (*στοιχεῖα*). Pol. IV. 437. D: *ἐναργεστάτας αὐτῶν τούτων* (*τῶν ἐπιθυμιῶν*). Ep. II. 314. B: *ἐναργέστατα φαίνεσθαι.*

ἐναργῶς, *evidenter*, *perspicue*, *clare.* Phaed. 102. A: *θαυμαστῶς ... μοι δοκεῖ ὡς ἐναργῶς τῷ καὶ σμικρὸν νοῦν ἔχοντι εἰπεῖν ἐκεῖνος ταῦτα.* Soph. 234. D: *ἐναργῶς ἐφάπτεσθαι τῶν ὄντων.* 242. B: *τὰ δοκοῦντα νῦν ἐναργῶς ἔχειν.* 254. A: *ἰδεῖν ... ἐναργῶς* (Id. Polit. 291. C. Ep. VIII. 352. D.). Polit. 263. B: *ἐναργῶς διωρισμένον.* 286. A: *εἴδωλον οὐδὲν πρὸς τοὺς ἀνθρώπους εἰργασμένον ἐναργῶς.* Phil. 20. B: *τοῦτο ἐὰν ἐναργῶς ἡμῖν φανῇ νῦν.* Legg. VIII. 829. C: *μιμούμενοι τὰς πολεμικὰς ὅτι μάλιστα ἐναργῶς μάχας.* XI. 927. D: *οὐκ εἴσεταί ἐναργῶς τὴν ... ὀργὴν νομοθέτου.* XII. 948. B: *ἡγουμένους ἐναργῶς εἶναι θεούς.* Ep. III. 319. D: *εἰπεῖν ἐναργῶς ὡς* cet. VII. 332. D: *λέγοντες οὐκ ἐναργῶς οὕτως.* Prot. 320. B: *ἐναργέστερον ... ἐπιδεῖξαι.* Soph. 261. C: *ἵν᾽ ἐναργέστερον ἀπολογισώμεθα.* Polit. 263. A: *πῶς ἄν τις ... ἐναργέστερον γνοίη.* 275. B: (*ἵνα*) *ἐναργέστερον ἴδοιμεν.* Pol. X. 611. C: *ἐναργέστερον δικαιοσύνας ... διόψεται* cet. Tim. 49. E: *δεῖ δ᾽ ἐναργεστέρου εἰπεῖν περὶ αὐτοῦ.* Phaedr. 250. D: *στίλβον ἐναργέστατα.* Phil. 34. C: *ἵνα ... ἐναργέστατα λάβοιμεν.* Alc. I. 132. C: *τίν᾽ οὖν ἂν τρόπον γνοίημεν αὐτὰ ἐναργέστατα;*

ἐνάριθμος, ὁ ἡ, *qui numero aliquo putatur, haud vulgaris.* Soph. 258. C: *ἐνάριθμον τῶν πολλῶν ὄντων εἶδος ἕν.* Phil. 17. E: *οὐκ ἐλλόγιμον οὐδ᾽ ἐνάριθμον.*

ἐναρμόνιος, ὁ ἡ, *concinnus*; *consentaneus.* Pol. VII. 530. D: *ὡς πρὸς ἐναρμόνιον φορὰν ὦτα παγῆναι.* Legg. II. 654. A: *τοὺς δεδωκότας τὴν ἔνρυθμόν τε καὶ ἐναρμόνιον αἴσθησιν μεθ᾽ ἡδονῆς.* Locr. 103. C: *ἐναρμόνιον ταῖς τῶν βίων ὑποθέσεσι.*

ἐναρμόττω, *accommodo.* Legg. VII. 819. C: *εἰς παιδιὰν ἐναρμόττοντες τὰς τῶν ἀναγκαίων ἀριθμῶν χρήσεις.* Intrans. *convenio*, *quadro.* Legg. X. 894. C: *ἐναρμόττουσαν πᾶσι ... ποιήμασι.*

ἑνάς, ἡ, *unitas.* Phil. 15. A: *περὶ τούτων τῶν ἑνάδων.*

ἔνατος, η, ον, *nonus.* Legg. I. 624. B: *δι᾽ ἐνάτου*

(v. ἐννάτου) ἔτους. Id. de lege 319. E. Men. 81. B: ἐνάτῳ ἔτει (Pind.). Id. de lege 319. C. Legg. X. 894. C: τὴν ... ἕτερον ἀεὶ κινοῦσαν (κίνησιν) θήσομεν ἐνάτην αὖ. (Phaedr. 248. E. libri MSS. fere omnes ἐννάτῃ).

ἔναυλος, ὁ ἡ, *recens* (propr. quo adhuc aures personant). Legg. III. 678. C: πᾶσι φόβος ἔναυλος ἐγεγόνει. Menex. 235. B: οὕτως ἔναυλος ὁ λόγος τε καὶ ὁ φθόγγος παρὰ τοῦ λέγοντος ἐνδύεται εἰς τὰ ὦτα.

ἐναύω, *incendo*. Med. *ignem capio ab altero*, transl. *mutuum sumo*. Ax. 371. E: τὸ θάρσος τῆς ἐκεῖσε πορείας παρὰ τῆς Ἐλευσινίας ἐναύσασθαι.

ἐνδάκνω, *mordeo*. Phaedr. 254. D: ἐνδακὼν τὸν χαλινόν.

ἐνδατέομαι, *per partes celebro*. Pol. II. 383. B. (Aesch.).

ἐνδεής, ὁ ἡ, *non sufficiens, inops; indigens* (h. e. *qui desiderat* vel *requirit* et *qui caret* vel *privatus est*). Prot. 329. B: σμικροῦ τινὸς ἐνδεής εἰμι πάντ' ἔχειν. Conv. 195. D: ποιητοῦ δ' ἔστιν ἐνδεὴς οἷος ἦν Ὅμηρος πρὸς τὸ ἐπιδεῖξαι θεοῦ ἁπαλότητα. 200. B: οὐ γάρ που ἐνδεὴς ἂν εἴη τούτων ὅ γε ὤν. E. 202. D. 204. A. 216. A: πολλοῦ ἐνδεὴς ὤν. Pol. II. 369. B: πολλῶν ἐνδεής (opp. αὐτάρκης). Legg. V. 734. B: τοῦ σωφρονεῖν ἐνδεὴς ὤν. Euth. 13. A: σμικροῦ τινὸς ἔτι ἐνδεής εἰμι. Prot. 322. E: πρὸς ... τὸν τῶν θηρίων πόλεμον ἐνδεής (opp. ἱκανή). Legg. V. 729. A: τῶν ... ἀναγκαίων μὴ ἐνδεής. Soph. 245. C: ἐνδεὲς τὸ ὂν ἑαυτοῦ ξυμβαίνει. Conv. 200. A: ἐπιθυμεῖν οὗ ἐνδεές ἐστιν. Ib. μὴ ἐπιθυμεῖν, ἐὰν μὴ ἐνδεὲς ᾖ. Legg. VII. 802. B: (opp. ἱκανόν). Pol. II. 381. C: οὐ γάρ που ἐνδεᾶ γε φήσομεν τὸν θεὸν κάλλους ἢ ἀρετῆς εἶναι. Lach. 199. D: ἐνδεᾶ ... σωφροσύνης cet. Ax. 365. A: πάνυ ἐνδεᾶ παραμυθίας. Soph. 254. C: (ἵνα) λόγου ... ἐνδεεῖς μηδὲν γιγνώμεθα περὶ αὐτῶν. Legg. III. 679. A: γάλακτος οὐδαμῶς ἐνδεεῖς ἦσαν. 697. E: καθάπερ ἐνδεεῖς ἀνθρώπων. XI. 930. C: ἐνδεεῖς τέκνων. Epin. 989. A. Apol. 22. A: τοῦ πλείστου ἐνδεεῖς εἶναι (ἔδοξάν μοι). Eryx. 401. D: ὧν νῦν ἐνδεεῖς ἐσμέν. Pol. VII. 538. B: ἧττον ἂν περιιδεῖν ἐνδεεῖς τινός. Phil. 62. C: μίγνυσθαι ὁμοῦ καθαρᾷ τὴν ἐνδεεστέραν (ἐπιστήμην). Gorg. 487. B: ἐνδεεστέρω ... παῤῥησίας.

ἔνδεια, ἡ, *indigentia, inopia; defectus*. Conv. 200. E: ὧν ἂν ἔνδεια παρῇ αὐτῷ. Tim. 82. A: τούτων ἡ παρὰ φύσιν πλεονεξία καὶ ἔνδεια ... νόσους παρέχει. Def. 416. Prot. 357. B: ὑπερβολῆς τε καὶ ἐνδείας οὖσα ... σκέψις. Gorg. 496. E: πλήρωσις ... τῆς ἐνδείας. Prot. 357. D: ἐπιστήμης ἐνδείᾳ ἐξαμαρτάνειν. Gorg. 487. E: οὔτε σοφίας ἐνδείᾳ οὔτ' αἰσχύνης περιουσίᾳ. 522. D. Phil. 45. B: μᾶλλον ... ἐνδείᾳ ξυγγίγνονται. Conv. 203. D: ἀεὶ ἐνδείᾳ ξύνοικος. Pol. IX. 571. E: μήτε ἐνδείᾳ δοὺς μήτε πλησμονῇ. Legg. XII. 945. C: τῆς ... αὐτοῦ δυνάμεως ἐνδείᾳ. Hipp. mai. 283. D: χρημάτων ἐνδείᾳ. Ep. VII. 328. E. Gorg.

496. D: *ἅπασαν ἔνδειαν καὶ ἐπιθυμίαν ἀνιαρὸν εἶναι.* Conv. 202. D: *δι' ἔνδειαν τῶν ἀγαθῶν καὶ καλῶν.* Tim. 70. D: *ὅσων ἔνδειαν ... ἴσχει.* Ax. 366. D: *δι' ἔνδειαν.* Eryx. 405. E: *αἱ δ' ἐπιθυμίαι πᾶσαι οὐδὲν ἕτερον ἢ ἔνδειαί τινων.* 401. E: *πρὸς τὴν τοῦ σώματος θεραπείαν τῶν ἐνδειῶν.* 406. Phil. 51. B: *τὰς ἐνδείας ἀναισθήτους ἔχοντα.* Eryx. 401. E: *πρὸς ... τὰς ἐνδείας τοῦ σώματος.* B: *παύειν τὰς τοῦ σώματος ἐνδείας.*

ἔνδειγμα, τό, argumentum. Critia 110. B: *ἔνδειγμα ὅτι* cet.

ἐνδείκνυμι, ostendo, demonstro, declaro, doceo. Polit. 278. B: *ἐνδεικνύναι τὴν αὐτὴν ὁμοιότητα καὶ φύσιν ἐν ἀμφοτέροις οὖσαν.* 308. E: *τοιαῦτα ... ἑκάστοις ἐνδεικνῦσα τὰ ἔργα ἀποτελεῖν, οἷα ἂν* cet. Med. *demonstro, probo;* etiam *convinco* (vern. *überführen*). Apol. 23. A: *ἐνδείκνυμαι ὅτι οὐκ ἔστι σοφός.* Gorg. 493. B: *τοὐναντίον ... οὗτος σοὶ ... ἐνδείκνυται ὡς* cet. Theaet. 200. C. Tim. 49. E: *πᾶσαν ὅσῃ μόνιμα ὡς ὄντα αὐτὰ ἐνδείκνυται φύσις.* Euthyd. 277. E: *ὃ ... ἐνδείκνυσθόν σοι τὼ ξένω.* Lach. 179. D: *τοῖσδε τοῖς νεανίσκοις αὐτὰ ταῦτα ἐνδεικνύμεθα.* Legg. V. 735. E: *ὅσοι ... ἑτοίμους αὐτοὺς ἐνδείκνυνται παρεσκευακότες ἕπεσθαι.* Euthyd. 278. A: *ὡς οὗτοι ἐνδείκνυνται.* Pol. VI. 499. E: *ἐὰν αὐτοῖς ... ἐνδεικνύῃ οὓς λέγεις τοὺς φιλοσόφους.* Phaedr. 271. E: *ἑαυτῷ ἐνδείκνυσθαι ὅτι* cet. Gorg. 484. B. 488. C. Polit. 277. D. Tim. 53. C. al. Theaet. 161. C: *ἐνδεικνύμενος ὅτι* cet. 167. E. Crat. 394. E: *τὸ ὀρεινὸν ἐνδεικνύμενος τῷ ὀνόματι.* Tim. 41. B. Apol. 29. C. Riv. 133. B: *ἐνδεικνύμενος* (v. *αἰνιττόμενος*) *εἰς τὸν ἀντεραστήν.* Phaed. 83. A: *ἐνδεικνυμένη ὅτι* cet. Parm. 133. B: *τοῦ ἐνδεικνυμένου.* Prot. 325. D: *ἐνδεικνύμενοι ὅτι* cet. Charm. 162. D: *ἐνεδείκνυτο ὡς* cet. Apol. 32. D: *ἔργῳ ... ἐνεδειξάμην ὅτι* cet. Pol. V. 452. D: *καὶ τοῦτο (τὸ ἄριστον) ἐνεδείξατο ὅτι* cet. Gorg. 488. A: *ἀλλ' ἱκανῶς μοι ἔνδειξαι τί ἐστι τοῦτο.* Charm. 169. B. Men. 82. A. Tim. 27. D: *ἐνδειξαίμην.* Charm. 156. B. Polit. 275. B: *ἵνα ἐνδείξαιτο ... μὴ μόνον ὡς* cet. Lys. 209. E: *εἰ ... ἐνδειξαίμεθα αὐτῷ ὅτι* cet. Pol. II. 367. B: *μὴ ... ἡμῖν μόνον ἐνδείξῃ τῷ λόγῳ ὅτι* cet. Euth. 9. B: *κἄν μοι ἱκανῶς ἐνδείξῃ.* Polit. 297. C: *ἐνδείξηται.* Pol. V. 455. B: *ἐάν πως ἡμεῖς ἐκείνῳ ἐνδειξώμεθα ὅτι* cet. Prot. 317. C: *ἐνδείξασθαι καὶ καλλωπίσασθαι ὅτι* cet. Gorg. 481. D: *ἐνδείξασθαι ἑτέρῳ τὸ ἑαυτοῦ πάθημα.* Theaet. 158. E: *ἀλλά τι ἄλλο ἔχεις σαφὲς ἐνδείξασθαι* cet. 206. D. Soph. 217. C. Polit. 306. D: *διὰ λόγων ἐνδείξασθαι.* Parm. 133. B. al. Gorg. 493. D: *ἐνδειξάμενος.* Tim. 24. B: *παρ' ὑμῖν πρώτοις ἐνδειξαμένης.* Ion. 541. D: *ἐνδειξαμένους ὅτι ἄξιοι λόγου εἰσί.* Pol. II. 358. D: *εἰπὼν ... ἐνδείξομαί σοι ὃν τρόπον* cet. Euthyd. 278. D. Euth. 9. B: *ἐνδείξει.* Crat. 428. E: *ἥτις ἐνδείξεται*

οἷόν ἐστι τὸ πρᾶγμα. Euthyd. 278. C: *ὅτι τούτω γέ σοι αὐτὼ* (al. *αὐτὰ*) *τὰ σπουδαῖα ἐνδείξεσθον.* *indico, nomen alicui defero. Legg. IX. 856. C: *πᾶς ... ἀνὴρ ... ἐνδεικνύτω ταῖς ἀρχαῖς.* 937. C. Apol. 32. B: *ἑτοίμων ὄντων ἐνδεικνύναι με.*

ἔνδειξις, ἡ, demonstratio. Ep. VII. 341. E: *διὰ σμικρᾶς ἐνδείξεως.* Legg. XII. 966. B: *τὴν ... ἔνδειξιν τῷ λόγῳ ... ἐνδείκνυσθαι.*

ἕνδεκα, undecim. Phaedr. 246. E: *κατὰ ἕνδεκα μέρη κεκοσμημένη.* Theaet. 195. E: *τὰ ἕνδεκα δώδεκα εἶναι.* al. *Οἱ ἕνδεκα* ap. Athen. erant undecimviri (*ἄρχοντες*) quibus ad supplicium damnati tradebantur. Phaed. 59. E: *λύουσι ... οἱ ἕνδεκα Σωκράτη.* 85. B: *ἕως ἂν οἱ Ἀθηναίων ἐῶσιν ἄνδρες ἕνδεκα.* 116. B: *ὁ τῶν ἕνδεκα ὑπηρέτης.* Apol. 37. C: *τῇ ἀεὶ καθισταμένῃ ἀρχῇ, τοῖς ἕνδεκα.*

ἑνδεκάς, ἡ, numerus undecimus. Legg. VI. 771. C: *πλὴν ἑνδεκάδος.*

ἐνδελεχής, ὁ ἡ, perpetuus. Legg. IV. 717. E: *μνήμην ἐνδελεχῆ παρεχόμενον.*

ἐνδελεχῶς, continenter. Pol. VII. 539. D: *μεῖναι ἐνδελεχῶς καὶ ξυντόνως μηδὲν ἄλλο πράττοντα.* Tim. 43. C: *μετὰ τοῦ ῥέοντος ἐνδελεχῶς ὀχετοῦ.* 58. C: *ἐσομένην ... ἐνδελεχῶς.* (Legg. X. 905. E: *τούς γε διοικήσοντας τὸν ἅπαντα ἐντελεχῶς οὐρανόν* pro *ἐντελεχῶς* sine dubio scrib. *ἐνδελεχῶς*).

ἐνδέχομαι, recipio; admitto, patior. Phaed. 78. D: *μή ποτε μεταβολὴν ... ἐνδέχεται;* Ib. *οὐδέποτε ... ἀλλοίωσιν οὐδεμίαν ἐνδέχεται.* Soph. 254. C: *καθ᾽ ὅσον ὁ τρόπος ἐνδέχεται τῆς νῦν σκέψεως.* Pol. II. 381. B: *ἐλαχίστην μεταβολὴν ὑπ᾽ ἄλλου ἐνδέχεται.* Legg. VIII. 834. D: *ἐὰν ... ἡ φύσις ἐνδέχηται καὶ μὴ δυςχεραίνῃ παῖδας ἢ παρθένους κοινωνεῖν.* Crat. 428. B: *ὡς ἐμοῦ ἐνδεξομένου.* *possum. Tim. 69. A: *καθ᾽ ὅσον ἡ φύσις ἐνδέχεται.* 90. C: *καθ᾽ ὅσον ... μετασχεῖν ἀνθρωπίνη φύσις ἀθανασίας ἐνδέχεται.* Impers. *ἐνδέχεται* est Lat. potest (i. q. fieri potest). Phaedr. 271. C: *καθ᾽ ὅσον ἐνδέχεται.* Pol. VI. 501. C: *εἰς ὅσον ἐνδέχεται.*

ἐνδέω, illigo, immergo, infero. Legg. III. 695. D: *τὸν τοῦ Κύρου δασμὸν ... εἰς τὸν νόμον ἐνέδει.* Tim. 43. A: *τὰς τῆς ἀθανάτου ψυχῆς περιόδους ἐνέδουν εἰς ἐπίῤῥυτον σῶμα.* 69. E. Soph. 261. A: *ἵνα ... τὸν σοφιστὴν εἰς αὐτὸ ἐνδήσωμεν.* Phaed. 81. E: *ἐνδοῦνται ... εἰς τοιαῦτα ἤθη.* Legg. V. 733. D: *ὡς ἐν τούτοις ἐνδεδεμένοι πεφύκασι.* Tim. 44. B: *ὅταν εἰς σῶμα ἐνδεθῇ θνητόν* (v. *σώματι ... θνητῷ*). Phaed. 81. E: *ἕως ἂν ... πάλιν ἐνδεθῶσιν εἰς σῶμα.* 92. A: *πρὶν ἐν τῷ σώματι ἐνδεθῆναι.* Tim. 43. A: *αἱ ... εἰς ποταμὸν ἐνδεθεῖσαι πολὺν* cet.

ἐνδέω, deficior aliqua re, indigeo; absum, in re pos. desum. Phaed. 74. D: *ἢ ἐνδεῖ τι ἐκείνου* (i. q. *τούτου*). Ib.

καὶ πολύ γε ... ἐνδεῖ. Pol. VI. 491. D: *ὅτι τὸ μὴ τυχὸν τροφῆς ... τοσούτῳ πλειόνων ἐνδεῖ τῶν πρεπόντων.* Crat. 432. D: *ὅσου ἐνδέουσιν αἱ εἰκόνες ταὐτὰ ἔχειν ἐκείνοις ὧν εἰκόνες εἰσίν.* Pol. I. 345. D: *ἐνδέῃ.* Phil. 62. C: *ἣν ... ἔφαμεν ... καθαρότητος ἐνδεῖν.* Pol. III. 416. E: *ὅσον μήτε περιεῖναι αὐτοῖς ... μήτε ἐνδεῖν.* VII. 529. D: *τῶν ... ἀληθινῶν πολὺ ἐνδεῖν.* Alc. II. 145. E: *ἢ πολλοῦ φήσομεν ἐνδεῖν;* Impers. (c. dat. pers.) Euthyd. 292. E: *τοῦ ἴσου ἡμῖν ἐνδεῖ.* Med. *indigeo.* Polit. 311. A: *δριμύτητος ... ἐνδεῖται (τὰ σωφρόνων ἀρχόντων ἤθη).*

ἐνδεῶς, parum vel *ita ut non satisfaciat,* c. neg. *satis.* Phaed. 77. A: *οὐκ ἐνδεῶς τοῦτο πεπεῖσθαι αὐτόν.* 84. C: *μῶν μὴ δοκεῖ ἐνδεῶς λελέχθαι;* 88. E: *καὶ ἱκανῶς ἐβοήθησεν, ἢ ἐνδεῶς;* Polit. 262. C: *τὰ νῦν δηλῶσαι μηδὲν ἐνδεῶς.* Pol. VII. 523. E: *ἆρ' οὐκ ἐνδεῶς τὰ τοιαῦτα δηλοῦσιν;* IX. 571. A: *τούτου ... ἐνδεῶς ἔχοντος.* Legg. XI. 936. D: *τὴν βλάβην ἐξιάσθω μὴ ἐνδεῶς.* Menex. 244. B. Phaed. 74. E: *ἐνδεεστέρως ... ἔχειν.* 75. A. Alc. II. 149. A: *οὐκ ὀλίγως* (Buttm. *ὀλίγῳ*) *ἐνδεεστέρως τιμῶσιν ἤπερ ἡμεῖς.* Ep. IV. 321. B: *ὅτι δοκεῖς τισὶν ἐνδεεστέρως τοῦ προσήκοντος θεραπευτικὸς εἶναι.*

ἔνδηλος, ὁ ἡ, manifestus, perspicuus. Phaed. 88. E: *πότερον κἀκεῖνος ... ἔνδηλός τι ἐγένετο ἀχθόμενος ἢ οὔ.* Theaet. 274. D: *τῷ ὄντι γελῶν ἔνδηλος γιγνόμενος.* Pol. IX. 572. B: *τοῦτο ... ἐν τοῖς ὕπνοις γίγνεται ἔνδηλον.* Tim. 50. E: *τὸ παράπαν σχῆμα οὐδὲν ἔνδηλον ὑπάρχειν ἐῶσι.* Gorg. 524. C: *καὶ τεθνεῶτος ταὐτὰ ταῦτα ἔνδηλα.* D. Tim. 65. A. Gorg. 524. B: *ἔνδηλα πάντα.*

ἐνδιατρίβω, versor in aliqua re. Locr. 104. C: *τοῖς ἐνδιατρίβεν ... εὐδαιμόν ἐστι.* Gorg. 484. C: *ἐὰν ... περαιτέρω τοῦ δέοντος ἐνδιατρίψῃ.* Pol. VI. 487. D: *ὅσοι ἂν ... μακρότερον ἐνδιατρίψωσι.*

ἐνδίδωμι, trado, dedo; etiam *iniicio.* Legg. X. 887. E: *οὐδαμῇ ὑποψίαν ἐνδιδόντων ὡς οὐκ εἰσὶ θεοί.* II. 672. C: *ὅτι τὴν ῥυθμοῦ ... αἴσθησιν τοῖς ἀνθρώποις ἡμῖν ἐνδεδωκέναι τὴν ἀρχὴν ταύτην ἔφαμεν.* Gorg. 499. B: *κἂν παίζων τίς σοι ἐνδῷ ὁτιοῦν.* Pol. VIII. 561. B: (*ἐὰν*) *τοῖς ἐπεισελθοῦσι μὴ ὅλον ἑαυτὸν ἐνδῷ.* Phaedr. 241. C: *ἐνδοῦναι ἑαυτὸν ἀπίστῳ* cet. Pol. VIII. 567. A: *ἐνδοὺς τοῖς πολεμίοις.* X. 605. D: *ἐνδόντες ἡμᾶς αὐτούς.*

ἔνδικος, ὁ ἡ, iustus. Hipp. mai. 292. A: *ἢ οὐκ ἔνδικος ὑμῖν ἡ πόλις ἐστίν —;* Legg. XI. 915. D: *ἀξιόχρεων τε καὶ ἔνδικον.*

ἐνδίκως, iure, rite. Phil. 12. D: *πῶς ἄν τις ... λέγων οὐκ ἀνόητος φαίνοιτο ἐνδίκως;* Legg. XII. 954. A: *τοῦ μὴ ἐνδίκως πωλοῦντος.* Ep. III. 318. D. VII. 335. D. (Epin. 976. D: pro *ἐνδίκως* scrib. videtur *ἔνδικος*). Tim. 85. B: *νόσημα ... ἐνδικώτατα ἱερὸν λέγεται.*

ἔνδοθεν, *e loco interiore*, ut *domo*. Conv. 174. E: ἔνδοθεν ἀπαντήσαντα. 220. B: ἢ οὐκ ἐξιόντων ἔνδοθεν. Id. Alc. I. 106. E. **intus, intrinsecus*. Phaedr. 245. E: ᾧ ... ἔνδοθεν αὐτῷ ἐξ αὐτοῦ (τὸ κινεῖσθαι). 275. A. Conv. 215. B: οἱ ... φαίνονται ἔνδοθεν ἀγάλματα ἔχοντες θεῶν. 216. B. Pol. IX. 575. A. Tim. 45. C: τὸ προςπῖπτον ἔνδοθεν. 85. A. Legg. VIII. 829. A: πολεμικὸς (βίος) ... ἔξωθέν τε καὶ ἔνδοθεν. — Cum artic. Phaedr. 279. B: καλῷ γενέσθαι τἄνδοθεν. Tim. 70. B: ἀπὸ τῶν ἔνδοθεν ἐπιθυμιῶν.

ἔνδον, *intus* (domi vel in cubiculo). Prot. 310. E: ἵνα ἔνδον καταλάβωμεν. 311. A. Conv. 176. E. γυναιξὶν ταῖς ἔνδον. Pol. III. 417. B. V. 451. D: τὰς μὲν (θηλείας) οἰκουρεῖν ἔνδον. Legg. XII. 959. A: ἔνδον γίγνεσθαι (τὰς προθέσεις). Alc. II. 143. E: εἰ ἔνδον ἐστί. 144. A. Hipp. min. 364. B. Cum artic. ponitur in eis *qui in coetu sunt*, et in univ. *qui adsunt*. Prot. 317. C: ἁπάντων ἐναντίον τῶν ἔνδον ὄντων. Gorg. 447. C: ὅ τί τις βούλοιτο τῶν ἔνδον ὄντων. 455. C. Conv. 213. C: παρὰ τῷ καλλίστῳ τῶν ἔνδον. Pol. I. 328. B: ἦν δ' ἔνδον καὶ ὁ πατὴρ cet. **intus, intrinsecus*. Theaet. 151. B: ὑποπτεύων σε ... ὠδίνειν τι κυοῦντα ἔνδον. Conv. 222. A: νοῦς ἔχοντας ἔνδον μόνους. Pol. VII. 521. A: οἰκεῖος ὢν καὶ ἔνδον ὁ τοιοῦτος πόλεμος. IX. 573. D: ἔνδον οἰκῶν. Cum artic. *interior; domesticus*. Crat. 411. C: αἰτιῶνται ... οὐ τὸ ἔνδον τὸ παρὰ σφίσι πάθος αἴτιον εἶναι ταύτης τῆς δόξης. 427. C: τὰ ἔνδον καὶ τὰ ἐντὸς ὠνόμασεν. Pol. III. 415. D: ὅθεν τούς τε ἔνδον μάλιστ' ἂν κατέχοιεν ... τούς τε ἔξωθεν cet. Tim. 17. D. 78. B. Men. 71. E: σώζουσαν τὰ ἔνδον. — Cum gen. *intra*. Prot. 320. D: τυποῦσιν αὐτὰ θεοὶ γῆς ἔνδον.

ἔνδοξος, ὁ ἡ, *nobilis*. Soph. 223. B: πλουσίων καὶ ἐνδόξων ... θήρα. Id. Def. 415. C.

ἐνδυναστεύω, *dominor inter aliquos*. Pol. VII. 516. D: τοὺς παρ' ἐκείνοις τιμωμένους τε καὶ ἐνδυναστεύοντας.

ἔνδυσις, ἡ, *ingressus*. Crat. 419. C: ἀπὸ τῆς ἐνδύσεως τῆς λύπης.

ἐνδύω, *ingredior. intro*. Tim. 62. B: εἰς τὰς ἐκείνων οὐ δυνάμενα ἕδρας ἐνδῦναι. Pol. IX. 577. A: εἰς ἀνδρὸς ἦθος ἐνδύς. Med. *ingredior, migro*. Phaed. 81. E: εἰς τὰ τῶν ὄνων γένη ... εἰκὸς ἐνδύεσθαι. Tim. 66. A: εἰς ... τὰς στενὰς φλέβας ἐνδυομένων. Ib. εἰς ἕτερα ἐνδυόμενα. **incesso*. Theaet. 169. B: οὕτως τις ἔρως δεινὸς ἐνδέδυκε τῆς περὶ ταῦτα γυμνασίας. — Ut Lat. *intro*, etiam valet *induo*. Crat. 411. A: ἐπειδήπερ τὴν λεοντῆν ἐνδέδυκα. Legg. XII. 947. C: τὴν πολεμικὴν σκευὴν ἐνδεδυκότας ἑκάστους. Critia 120. B: ἐνδύντες ὅτι καλλίστην ... στολήν. — Med. *mihi induo*. Pol. X. 620. C: τὴν τοῦ ... Θερσίτου (ψυχὴν) πίθηκον ἐνδυομένην. Etiam *penetro, influo*. Phaed. 89. D: ἡ ... μισανθρωπία ἐνδύεται ἐκ τοῦ σφόδρα τινὶ πιστεῦσαι ἄνευ

τέχνης. Pol. II. 377. B: *μάλιστα ... τότε ... ἐνδύεται τύπος* cet. Legg. I. 642. B: *ταύτῃ τις εὔνοια ἐκ νέων εὐθὺς ἐνδύεται ἕκαστον* cet. Menex. 235. C: *ὁ φθόγγος ... ἐνδύεται εἰς τὰ ὦτα.*

ἐνέδρα, ἡ, insidiae. Legg. X. 908. D: *δόλου ... καὶ ἐνέδρας πλήρης.* Ut Lat. *insidiae*, locus ubi hostes latitant. Legg. VIII. 830. E: *ἐπὶ κατάληψιν χωρίων ... καὶ ἐνέδρας.*

ἔνειμι, insum, adsum. Conv. 186. D: *οἷς μὴ ἔνεστιν ἔρως.* Pol. III. 401. A: *ἐν πᾶσι ... τούτοις ἔνεστιν εὐσχημοσύνη ἢ ἀσχημοσύνη.* 402. C: *ἐνόντα ἐν οἷς ἔνεστιν.* Legg. II. 652. A: *ἔνεσθ', ὡς* cet. Phaed. 77. E: *ἴσως ἔνι τις καὶ ἐν ἡμῖν παῖς.* Theaet. 150. B: *μέγιστον ... τοῦτ' ἔνι τῇ ἡμετέρᾳ τέχνῃ.* 186. D: *ἐν ... τοῖς παθήμασιν οὐκ ἔνι ἐπιστήμη.* Parm. 158. C: *ἐν οἷς τὸ ἓν οὐκ ἔνι.* Crat. 412. C: *ἔνι μὲν ἄρ' αὐτοῖς τάχος, ἔνι δὲ βραδυτής.* Phil. 55. D. Pol. I. 342. A. Tim. 64. E. Legg. V. 730. A: *ᾧ καὶ σμικρὸν προμηθείας ἔνι.* Conv. 188. A: *ἔνεστον γάρ.* Prot. 326. A: *ἐν οἷς πολλαὶ ... νουθετήσεις ἔνεισι.* Tim. 39. E: *οἷαί τε ἔνεισι καὶ ὅσαι.* Phil. 20. E: *μήτε ἐν τῷ τῆς ἡδονῆς (βίῳ) ἐνέστω φρόνησις* cet. Pol. II. 368. E: *ἴσως ... πλείων ἂν δικαιοσύνη ἐν τῷ μείζονι ἐνείη.* Phaedr. 278. A: *ἐὰν εὑρεθεὶς ἐνῇ.* Phil. 24. C: *ὅπου γὰρ ἂν ἐνῆτον.* Conv. 216. B: *ὃ οὐκ ἄν τις οἴοιτο ἐν ἐμοὶ ἐνεῖναι.* Pol. IV. 431. E: *ἐν ποτέροις ... φήσεις τῶν πολιτῶν τὸ σωφρονεῖν ἐνεῖναι —;* Tim. 64. C. Pol. IV. 431. E: *ἐν ταύτῃ ἂν εἴη τοῦτο ἐνόν.* Prot. 352. B: *ἐνούσης πολλάκις ἀνθρώπῳ ἐπιστήμης.* Conv. 186. D: *ἐνόντα (ἔρωτα) ἐξελεῖν.* Pol. X. 619. C: *ἀλλ' αὐτὸν λαθεῖν ἐνοῦσαν εἱμαρμένην* cet. Tim. 39. B: *ἐνούσας ἰδέας.* Soph. 226. B: *μυρία ἐν ταῖς τέχναις ἄλλα τοιαῦτα ἐνόντα ἐπιστάμεθα.* Polit. 271. E: *πόλεμος ... οὐκ ἐνῆν* cet. Pol. I. 352. C: *ὅτι ἐνῆν τις αὐτοῖς δικαιοσύνη.* II. 373. C. Conv. 177. B: *ἐν ᾧ ἐνῆσαν ἅλες* cet. Parm. 145. D: *πῶς ἔτι ἕν γε τοῖς πᾶσιν ἐνέσται;* Pol. VI. 502. D: *τίνα τρόπον ἡμῖν ... οἱ σωτῆρες ἐνέσονται τῆς πολιτείας.* IV. 428. E: *ἐνέσεσθαι.* **adsum*; unde *τὰ ἐνόντα, opes.* Pol. VI. 488. C: *χρώμενος τοῖς ἐνοῦσι.* Omnino in eo ponitur quod *datum* vel *concessum est.* Phaed. 117. A: *φειδόμενος (τοῦ ζῆν) οὐδενὸς ἔτι ἐνόντος* (sic libri praestantiss. Al. *ὄντος*). Phaedr. 235. B: *τῶν ... ἐνόντων ἀξίως ῥηθῆναι ἐν τῷ πράγματι* (i. q. *quae causa suppeditabat digna quae dicerentur*).

ἕνεκα et *ἕνεκεν, causa, propter.* Prot. 310. B: *τοῦ ἕνεκα τηνικάδε ἀφίκου;* Gorg. 497. B: *ἀλλ' ἀποκρίνου καὶ ἡμῶν ἕνεκα.* Phaed. 106. D: *ἀλλ' οὐδὲν δεῖ ... τούτου γε ἕνεκα* (vern. *desshalb.* Id. Soph. 242. B. Pol. V. 451. B.). Polit. 277. E: *λέγε μηδὲν ἐμοῦ γε ἕνεκα ἀποκνῶν.* Conv. 174. E: *εἰ δ' ἄλλου τινὸς ἕνεκα ἦλθες.* 185. B: *ἀρετῆς γ' ἕνεκα καὶ τοῦ βελτίων γενέσθαι.* Pol. VI. 510. D: *τοῦ τε-*

χαλεπῷ ... λόγῳ ἐπιχειροῦμεν ... ἑτέραν εὑρεῖν. Soph. 267. C: *σφόδρα ἐπιχειροῦσι πολλοὶ ... προθυμεῖσθαι φαίνεσθαι ποιεῖν.* Phil. 53. C. Legg. X. 885. E: *ἀλλ' ἐπιχειρεῖτε ... εἰπεῖν ἃ προκαλούμεθα.* Polit. 300. A: (*εἰ*) *παρὰ ταῦτα ἐπιχειροῖ δρᾶν ἕτερα.* Pol. III. 394. E: *εἰ τοῦτο ἐπιχειροῖ.* Prot. 319. C: *ἐὰν δέ τις ἄλλος ἐπιχειρῇ αὐτοῖς συμβουλεύειν* cet. Soph. 237. E: *ὃς ἂν ἐπιχειρῇ μὴ ὂν φθέγγεσθαι.* Gorg. 495. B: *ἐπιχειρῶμεν ἄρα τῷ λόγῳ —;* Pol. VII. 530. E: *μή ποτ' αὐτῶν τι ἀτελὲς ἐπιχειρῶσιν ἡμῖν μανθάνειν οὓς θρέψομεν.* Legg. X. 909. B. Prot. 323. D: *ὥστε τι τούτων ἐπιχειρεῖν ποιεῖν.* Phaedr. 265. E: *μὴ ἐπιχειρεῖν καταγνύναι μέρος μηδέν.* Gorg. 514. C: *ἐπιχειρεῖν τοῖς δημοσίοις ἔργοις.* 521. D: *ἐπιχειρεῖν τῇ ὡς ἀληθῶς πολιτικῇ τέχνῃ.* Legg. XI. 933. B: *ταῖς δὲ ψυχαῖς τῶν ἀνθρώπων ... οὐκ ἄξιον ἐπιχειρεῖν πείθειν.* Crit. 45. C: *οὐδὲ δίκαιόν μοι δοκεῖς ἐπιχειρεῖν πρᾶγμα.* Prot. 324. B: *ὁ ... μετὰ λόγου ἐπιχειρῶν κολάζειν.* 361. B: *ἐπιχειρῶν ἀποδεῖξαι ὡς* cet. Phaed. 100. B: *ἔρχομαι ... ἐπιχειρῶν σοι ἐπιδείξασθαι* cet. Theaet. 154. B: *ὁ τὰ αὐτὰ ἐκείνῳ ἐπιχειρῶν λέγειν.* 208. A: *Θεόδωρον ἐπιχειρῶν γράφειν* (*scripturus*). Pol. II. 361. A: *ἐπιχειρῶν ὀρθῶς τοῖς ἀδικήμασι.* VI. 507. D: *ἐπιχειροῦντος τοῦ ἔχοντος χρῆσθαι αὐτῇ* (*τῇ ὄψει*). Phaedr. 274. A: *ἐπιχειροῦντι ... τοῖς καλοῖς.* Gorg. 507. E: *ταύτας ἐπιχειροῦντα πληροῦν.* Pol. VII. 517. A: *τὸν ἐπιχειροῦντα λύειν.* Men. 79. D: *τὴν τοιαύτην ἀπόκρισιν τὴν ... ἐπιχειροῦσαν ἀποκρίνεσθαι.* Crat. 424. B: *οἱ ἐπιχειροῦντες τοῖς ῥυθμοῖς τῶν στοιχείων.* Pol. I. 339. C: *ἐπιχειροῦντες νόμους τιθέναι.* III. 386. B: *τοῖς ἐπιχειροῦσι λέγειν.* Legg. VI. 760. E: *τοὺς ἐπιχειροῦντας ... κακουργεῖν.* Pol. VII. 524. D: *ταῦτα ... καὶ ἄρτι ἐπεχείρουν λέγειν.* Lys. 207. D. Prot. 322. A: *ἐπεχείρει βωμούς τε ἱδρύεσθαι* cet. Pol. I. 342. D. Theaet. 200. D: *ὅπερ ἐπεχειροῦμεν ... ἐν τῷ πρόσθεν.* Crat. 422. E. Pol. III. 398. B. Epin. 980. C: *ὃν ... ἐπικεχείρηκα.* Soph. 227. C: *ἐπικεχείρηκεν ἀφορίσασθαι.* Phil. 57. B: *ὅτι ταῦθ' ἕνεκα τούτων ἐπικεχείρηκεν.* Legg. V. 739. E: *ἣν δὲ νῦν ἡμεῖς ἐπικεχειρήκαμεν.* Gorg. 500. C: *ὡς ἄρτι ἐγὼ ἐπεχείρησα.* Theaet. 148. A: *πολλάκις ... αὐτὸ ἐπεχείρησα σκέψασθαι.* Gorg. 461. D: *ἣ τὸ πρῶτον ἐπεχείρησας χρῆσθαι.* Phaed. 73. B: *ἐξ ὧν Κέβης ἐπεχείρησε λέγειν.* Tim. 25. B. 37. D. Pol. V. 451. C: *ἐπεχειρήσαμεν ... τοὺς ἄνδρας καθιστάναι τῷ λόγῳ.* Legg. IX. 859. B: *ὥσπερ ἐπεχειρήσαμεν.* Prot. 352. E: *ἴθι δὴ μετ' ἐμοῦ ἐπιχείρησον πείθειν τοὺς ἀνθρώπους* cet. Alc. I. 114. D. Pol. I. 341. B: *οὐδέ γ' ἂν ἐπιχειρήσαιμι.* IV. 425. C. Phaedr. 231. D: *ἣν οὐδ' ἂν ἐπιχειρήσειεν οὐδεὶς ... ἀποτρέπειν.* Theaet. 196. D: *τί εἰ ἐπιχειρήσαιμεν ἀναισχυντεῖν;* Pol. IV. 434. D. Legg. IX. 853. E: *δοῦλοι πολλὰ ἂν ἐπιχειρήσειαν τοιαῦτα.* Hipp. mai. 300. D: *ἐὰν ἐπιχειρήσῃς λέγειν τὰ προφαινό-*

μενά σοι ταῦτα. Legg. V. 735. B: *μή ποτε ἐπιχειρήσῃ θεραπεύειν.* III. 683. B: *ἐὰν ἐπιχειρήσωμεν τὸ δεύτερον τῇ τῆς νομοθεσίας σκέψει.* Gorg. 457. C: *περὶ ὧν ἂν ἐπιχειρήσωσι διαλέγεσθαι.* Pol. II. 369. B: *δοκεῖ ... χρῆναι ἐπιχειρῆσαι περαίνειν;* III. 416. A. Phaedr. 252. E: *τότε ἐπιχειρήσαντες μανθάνουσι* cet. Gorg. 514. D: *ἐπιχειρήσαντες δημοσιεύειν.* Conv. 215. A: *ἐπαινεῖν ... ἐπιχειρήσω.* Pol. III. 414. D. Crit. 51. A: *ἐπιχειρήσεις ἀνταπολλύναι.* Phil. 11. D: *ἀποφαίνειν ... ἐπιχειρήσει.* Pol. V. 465. A. Polit. 305. A: *τίν' οὖν ποτε καὶ ἐπιχειρήσομεν ... δεσπότιν ἀποφαίνεσθαι —;* Phaedr. 236. B: *ἐπιχειρήσειν εἰπεῖν ... ἕτερόν τι ποικιλώτερον.* Pass. Legg. V. 746. B: *οἷον δεῖ τὸ ἐπιχειρούμενον γίγνεσθαι.* Menex. 240. C: *τῶν μὲν πραχθέντων, τῶν δ' ἐπιχειρουμένων.* Tim. 53. A: *ὅτε δ' ἐπεχειρεῖτο κοσμεῖσθαι τὸ πᾶν.* Ep. VII. 337. D: *ἃ τὸ πρῶτον ἐπεχειρήθη μετ' αὐτοῦ Διονυσίου πραχθῆναι πᾶσι κοινὰ ἀγαθά.* Gorg. 513. E: *ἆρ' οὖν οὕτως ἡμῖν ἐπιχειρητέον ἐστὶ τῇ πόλει ... θεραπεύειν —;* Phil. 59. E: *ἆρ' οὐ μιγνύναι ἐπιχειρητέον;* Tim. 53. B. Apol. 18. E.

ἐπιχέω, *infundo.* Pol. III. 407. D: *κατὰ σμικρὸν ἀπαντλοῦντα καὶ ἐπιχέοντα.* Pass. *affluo, accedo, supervenio.* Polit. 302. C: *τοῦ νῦν ἐπικεχυμένου λόγου.* Legg. VII. 793. B: *ὁ νῦν δὴ λόγος ἡμῖν ἐπιχυθείς.*

ἐπιχθόνιος, ὁ ἡ, *in terra versans* vel *degens.* Crat. 398. A. et Pol. V. 469. A. (Hesiod.).

ἐπίχρυσος, ὁ ἡ, *aureus.* Legg. VII. 800. E: *ἐπίχρυσοι κόσμοι.*

ἐπιχρῶμαι, *utor.* Legg. XII. 953. A: *ὡς ὀλίγιστα δ' ἐπιχρωμένους.*

ἐπιχρωματίζω, *colorem induco* et simpl. *induco.* Pol. X. 601. A: *χρώματ' ἄττα ἑκάστων τῶν τεχνῶν τοῖς ὀνόμασι καὶ ῥήμασιν ἐπιχρωματίζειν.*

ἐπιχρώννυμι, *coloro, leviter tingo.* Ep. VII. 340. D: *δόξαις δ' ἐπικεχρωσμένοι.*

ἐπίχυσις, ἡ, *infusio.* Tim. 77. D: *εὔρους ... ἡ ἐπίχυσις γιγνομένη.* **accessio, copia.* Legg. V. 740. E: *ἐπίχυσις ... ὑπερβάλλουσα ... πολιτῶν.* VIII. 841. A: *τὴν ἐπίχυσιν καὶ τροφὴν αὐτῆς ... ἄλλοσε τρέποντα τοῦ σώματος.*

ἐπιχωριάζω, *commoror;* est etiam *ventito, commeo.* Phaed. 57. A: *οὐδεὶς ... ἐπιχωριάζει τὰ νῦν Ἀθήναζε.*

ἐπιχώριος, ὁ ἡ et *α, ον*, *indigena, vernaculus; domesticus.* Legg. VI. 764. B: *ἐὰν δ' ἐπιχώριος ὤν τις περὶ τὰ τοιαῦτα ἀκοσμῇ.* VIII. 846. D. XI. 923. E: *κλῆρος ἐπιχώριος.* VIII. 846. D: *μηδὲ οἰκέτης ἀνδρὸς ἐπιχωρίου.* Phaedr. 230. C: *ξεναγουμένῳ τινὶ καὶ οὐκ ἐπιχωρίῳ ἔοικας.* Legg. VIII. 847. A: *τὸν ... ἐπιχώριον ... κολαζόντων* cet. IX. 879. E. Hipp. mai. 285. A: *τὴν ἐπιχωρίαν (παίδευσιν).* Pol. VI. 497. B: *εἰς τὸ ἐπιχώριον (in loci naturam) φιλεῖ κρατού-*

μενον ἰέναι. Legg. V. 742. B: *ἀπολαμβάνων τὸ ἐπιχώριον* (*νόμισμα*). Prot. 315. B: *ἦσαν δέ τινες καὶ τῶν ἐπιχωρίων ἐν τῷ χορῷ.* Phaed. 59. B. Pol. I. 327. A. Alc. I. 123. B: *τοὺς ἐπιχωρίους.* Legg. V. 738. C: *θυσίας ... ἐπιχωρίους.* 730. B: *ξενικά τε καὶ ἐπιχώρια ... ὁμιλήματα.* Etiam in eo ponitur quod in indigenas committitur. Legg. V. 730. A: *ξενικῶν ... καὶ ἐπιχωρίων ἁμαρτημάτων.* **consuetus, usitatus.* Conv. 189. B: *τοῦτο ... ἂν κέρδος εἴη καὶ τῆς ἡμετέρας Μούσης ἐπιχώριον.* Legg. I. 639. D: *οὐ γὰρ ἐπιχώριον ὑμῖν τοῦτο οὐδὲ νόμιμον.* VIII. 834. B.

ἐπιψηλαφῶ, *prehendo.* Pol. II. 360. A: *ἐπιψηλαφῶντα τὸν δακτύλιον.* Prot. 310. C: *ἐπιψηλαφήσας τοῦ σκίμποδος.*

ἐπιψηφίζω, *sententiam rogo.* Gorg. 474. B: *ἐπιψηφίζειν τοὺς παρόντας.* Ib. *ἕνα ἐπιψηφίζειν ἐπίσταμαι.* 476. A: *σὲ μόνον ἐπιψηφίζων.*

ἐπόγδοος, *ὁ ἡ*, *sesquioctavus.* Tim. 36. B: *τῷ τοῦ ἐπογδόου διαστήματι.* 43. D: *τὰς τῶν ... ἐπογδόων μεσότητας.* 36. A: *διαστάσεων ... ἐπογδόων γενομένων.* Locr. 96. B: *τοῖς ἐπογδόοις.*

ἐποικοδομῶ, *superstruo* et simpl. *struo* vel *exstruo.* Legg. V. 736. E: *ὅντινα ἂν ὕστερον ἐποικοδομῇ τις κόσμον πολιτικόν.* Ib. *ἐπὶ ταύτης οἷον κρηπῖδος μονίμου ἐποικοδομεῖν* cet. VII. 793. C: *τὰ καλῶς ὕστερον ἐποικοδομηθέντα.*

ἔποικος, *ὁ ἡ*, *advena.* Legg. V. 742. A: *δούλοις καὶ ἐποίκοις.* IV. 715. E: *τοὺς ἐποίκους.*

ἐποικῶ, *colonus immigro* vel *advenio.* Legg. VI. 752. E: *ἐκ τῶν ἐποικησάντων* (v. *ἐποικησόντων*).

ἕπομαι, *sequor*, *subsequor*; *consequor* (unde *ἑπόμενον consequens*); etiam *ad similitudinem accedo*, *similis* vel *consentaneus sum*, *respondeo*, *coniunctus* vel *adiunctus sum.* Pol. IV. 445. C: *ἕπομαι ... μόνον λέγε.* Phaed. 105. B: *εἴπερ ἕπει.* Theaet. 193. B. Phaedr. 246. E: *τῷ δ' ἕπεται στρατιὰ θεῶν* cet. Pol. III. 394. E: *ἢ ... τοῦτο τοῖς ἔμπροσθεν ἕπεται ὅτι* cet. 400. D: *οὐ τῷ τῆς ψυχῆς ἤθει ἕπεται;* VI. 503. C: *ὅσα ἄλλα τούτοις ἕπεται.* Legg. III. 663. B: *ὅτῳ μὴ τὸ χαίρειν τοῦ λυπεῖσθαι πλέον ἕπεται.* Men. 75. C: *ὃ ἀεὶ χρόα ἕπεται.* Phaedr. 237. D: *οἷν ἑπόμεθα ἢ ἂν ἄγητον.* Pol. X. 605. D. Prot. 315. A: *οἱ δὲ κατὰ τὴν φωνὴν ἕπονται κεκηλημένοι.* Phaedr. 248. A. Menex. 235. B: *ἀεὶ μετ' ἐμοῦ ξένοι τινὲς ἕπονται.* Prot. 353. B: *ἕπου.* Polit. 258. E: *μᾶλλον δέ μοι δεῦρο ἕπου.* Conv. 174. B. Pol. IV. 432. C. Tim. 70. B: (*ἵνα*) *ἕποιτο πάντῃ.* Legg. VIII. 842. C: *τίν' αὐτοῖς ἂν τρόπον ἕποιτο.* VI. 763. C: *ἕποιντο δ' ἂν ἀγρονόμοις γε ἀστυνόμοι* cet. Gorg. 470. A: *ἐὰν ... πράττοντι ἃ δοκεῖ ἕπηται τὸ ὠφελίμως πράττειν.* Legg. I. 631. C: *ἅνπερ ἅμ' ἕπηται φρονήσει.* Gorg. 527. E: *τούτῳ οὖν ἑπώμεθα.* Theaet. 153. E: Legg. XII. 946. C: *ὁσύνπερ ἂν*

ἕπωνται χρόνον τῇ κρίσει. Prot. 334. D: *εἰ μέλλω σοι ἕπεσθαι.* Phaed. 94. C: *ἕπεσθαι ἐκείνοις.* Conv. 197. E: *ᾧ δεῖ ἕπεσθαι πάντα ἄνδρα* cet. Soph. 260. B: *τῇδ' ἑπόμενος.* Polit. 292. B. Phil. 57. A: *τοῖς πρόσθεν ἑπόμενος.* Phaedr. 248. A: *ἡ ... ἄριστα θεῷ ἑπομένη.* Pol. V. 461. E: *ὡς ἑπομένη ... τῇ ἄλλῃ πολιτείᾳ* cet. Legg. VI. 763. C: *τὸ ... μετὰ τοῦτο ... ἦν ἡμῖν ἑπόμενον.* Crat. 412. A: *ὡς φερομένοις τοῖς πράγμασιν ἑπομένης τῆς ψυχῆς.* Pol. IX. 586. E. Hipp. mai. 302. C: *τῇ οὐσίᾳ τῇ ἐπ' ἀμφότερα ἑπομένῃ.* Polit. 298. E: *θεῶ* (imper.) ... *καὶ τὸ μετὰ τοῦτο ἑπόμενον.* Legg. VIII. 835. C: *τὸ πρέπον καὶ ἑπόμενον πάσῃ τῇ πολιτείᾳ τάττων.* Phaedr. 250. B: *ἑπόμενοι μετὰ μὲν Διὸς ἡμεῖς* cet. (Euthyd. 276. B.) Phaed. 82. D: *ἐκείνῃ ἑπόμενοι.* Phil. 30. C: *μετ' ἐκείνου τοῦ λόγου ἑπόμενοι.* Pol. V. 467. E. Legg. I. 636. D: *ἑπόμενοι ... τῷ θεῷ.* Pol. IX. 587. D: *τῇ ἐπιστήμῃ καὶ λόγῳ ἑπόμεναι* (*ἐπιθυμίαι*). Polit. 271. E: *ἄλλα θ' ὅσα τῆς τοιαύτης ἐστὶ κατακοσμήσεως ἑπόμενα* (*consequentia*). Legg. VIII. 848. D: *τῶν ἑπομένων θεοῖς δαιμόνων.* Polit. 304. E: *τοῖς πρόσθεν ... ἑπομένοισιν.* Phil. 17. D: *ἡμῖν τοῖς ἑπομένοις ἐκείνοις* (*nobis-posterioribus*). Conv. 223. D: *οὐ σφόδρα ἑπομένους.* Legg. III. 688. C. Pol. VI. 504. B: *τῶν ... ἔμπροσθεν προειρημένων ἑπομένας ἀποδείξεις.* Ep. V. 321. E: *τῇ φωνῇ τὰς πράξεις ἑπομένας.* Tim. 64. A: *ὅσα ... ἡδονάς θ' ἅμα ἑπομένας ἔχει.* Pol. III. 406. D: *τὰ τούτοις ἑπόμενα* (*similia*). Legg. I. 632. C: *πάντα ταῦτα ... ἑπόμενα σωφροσύνῃ καὶ δικαιοσύνῃ.* IX. 934. C: *ὑπογράφειν ἔργα ἑπόμενα τῇ γραφῇ.* Phaedr. 234. D: *σοὶ εἱπόμην.* Alc. I. 106. A: *ὅτε σιγῶν εἵπου.* Legg. IX. 853. A: *ὅσα τούτοις εἵπετο.* Charm. 164. C: *πολλοὶ ... ἐν τοῖς ὄπισθεν εἵποντο.* Lys. 207. B: *ὁ Λύσις ἔσπετο.* Ep. II. 312. B: *ἕψομαι δὲ ἐγώ.* — *Sequor* est etiam *obtempero, pareo.* Pol. X. 604. D: *οὐκοῦν ... τὸ μὲν βέλτιστον τούτῳ τῷ λογιστικῷ ἐθέλει ἕπεσθαι.* Tim. 41. C. Legg. III. 687. E. 690. B. Pol. VIII. 564. B: *τὸ μὲν ... ἡγούμενον ... τὸ δ' ἑπόμενον.* Legg. III. 680. A: *ἔθεσι καὶ τοῖς λεγομένοις πατρίοις νόμοις ἑπόμενοι ζῶσιν.* E. I. 641. A: *νίκη ... τοῖς ἑπομένοις ἂν γίγνοιτο.* Tim. 40. E: *ἑπομένους τῷ νόμῳ.* **assequor, intelligo, capio.* Prot. 319. A: *ἆρ' ἕπομαί σου τῷ λόγῳ.* Theaet. 192. C: *νῦν μὲν γὰρ οὐχ ἕπομαι.* Phil. 45. D. Euth. 12. A. Lys. 218. E. Euth. 12. C: *ἕπει γάρ που νῦν γε;* Theaet. 155. C. (ubi v. *εἰπέ*). Phil. 23. E: *τάχ' ἂν ἑποίμην.* Polit. 277. C: *τοῖς δυναμένοις ἕπεσθαι.* Riv. 138. D. Legg. I. 644. D: *λέγε ... ὡς ἑπομένου.* Polit. 280. B: *οὐχ ἕσπου τοῖς λεχθεῖσιν, ὡς φαίνει.*

ἐπομβρία, ἡ, imber. Ax. 368. C: *κλᾶον νυνὶ μὲν αὐχμόν, νυνὶ δὲ ἐπομβρίας.*

ἑπομένως, convenienter. Tim. 27. C: *ἑπομένως ... ἡμῖν εἰπεῖν.* Legg. VIII. 844. E: *ἑπομένως τῷ νόμῳ τῷ* cet.

ἐπόμνυμι, *deiero*, *iuro*. Legg. XI. 917. B: *τοὺς θεοὺς παρακαλῶν ἐπόμνυσιν ἐν τοῖς τῶν ἀγορανόμων νόμοισι* cet. XII. 948. D: *ὅρκον ... μὴ ἐπομνύναι.* Ep. VII. 323. C: *ἐπομνύντας.* D. Critia 120. A: *ἐπώμνυσαν δικάσειν* cet.

ἐπονείδιστος, ὁ ἡ, *ignominiosus*. Conv. 184. C: *δουλεία ... οὐκ ἐπονείδιστος.* Legg. V. 741. E: *ἐπονείδιστος λεγομένη βαναυσία.* Apol. 29. B: *ἀμαθία ... ἐπονείδιστος.* Alc. I. 118. A. Legg. IX. 880. A: *δίκης ... ἐπονειδίστου τυγχάνων.* Ep. VII. 329. B. Polit. 309. E: *ἐπονείδιστόν τινα εὐηθείας ... λαμβάνει φήμην.* Legg. IX. 878. C: *αἰσχύνην ... ἐπονείδιστον.* Conv. 184. C: *μὴ κολακείαν εἶναι μηδὲ ἐπονείδιστον.* Phaedr. 277. E.

ἐπονειδίστως, *cum ignominia*. Legg. I. 633. E: *τοῦτον τὸν ἐπονειδίστως ἥττονα ἑαυτοῦ.*

ἐπονομάζω, *nomino*, *nomen impono* (c. dat.); etiam cum genitivo rei ex qua aliquid nominatur. Theaet. 185. C: *ᾧ τὸ ἔστιν ἐπονομάζεις.* Clit. 408. B: *ἣν δὴ σὺ πολιτικὴν ... ἐπονομάζεις πολλάκις.* Conv. 180. D: *ἣν δὴ καὶ οὐρανίαν ἐπονομάζομεν.* Tim. 44. D. Clit. 409. D: *ἃς ἡμεῖς τοῦτο τοὔνομα ἐπονομάζομεν.* Phaed. 113. B: *ὃν ἐπονομάζουσι Πυριφλεγέθοντα.* Phil. 55. E. Tim. 72. B. Legg. X. 892. B: *ἣν (φύσιν) οὐκ ὀρθῶς ἐπονομάζουσιν αὐτὸ τοῦτο.* Phaedr. 260. B: *ἵππον ἐπονομάζων.* Phaed. 103. B: *ἐπονομάζοντες αὐτὰ τῇ ἐκείνων ἐπωνυμίᾳ.* Polit. 302. D. Pol. X. 600. B. Critia 110. B: *τούτων ἐκείνους ... ἐπονομάζοντας.* Legg. IX. 878. A: *φήμης ἕνεκα ἐπονομάζοντας.* Polit. 263. C: *ὅτι πᾶσι ταὐτὸν ἐπονομάζειν ἔσχες ὄνομα.* Crat. 400. B. Polit. 269. D: *ὃν ... οὐρανὸν ... ἐπωνομάκαμεν.* Tim. 60. D: *ᾧ γένει κέραμον ἐπωνομάκαμεν.* Phil. 18. C: *ἕως ... ἑνί τε ἑκάστῳ καὶ ξύμπασι στοιχεῖον ἐπωνόμασε.* Tim. 73. C. Phil. 29. D: *ἐπωνομάσαμεν.* Pol. IX. 580. E. Legg. XII. 963. D: *ἣ δὲ ἓν ἀμφοῖν ἐπωνομάσαμεν ἀρετήν.* Phaedr. 244. C: *ἐπεὶ καὶ τήν γε τῶν ἐμφρόνων ζήτησιν ... οἰονοϊστικὴν ἐπωνόμασαν.* Crat. 401. D. 406. A: *τὰς δὲ Μούσας ... ἀπὸ τοῦ μῶσθαι ... τὸ ὄνομα τοῦτο ἐπωνόμασαν.* Phil. 34. A: *ἀναισθησίαν ἐπονόμασον.* Crat. 397. E: *ἀπὸ ταύτης τῆς φύσεως τῆς τοῦ θεῖν θεοὺς αὐτοὺς ἐπονομάσαι.* Legg. V. 745. D. E. Phil. 66. C: *ἐπονομάσαντες.* Lys. 204. E: *ἔτι πατρόθεν ἐπονομάζεται.* Parm. 133. D: *ὧν ἡμεῖς μετέχοντες εἶναι ἕκαστα ἐπονομαζόμεθα* (*singulis nominibus appellamur*). Legg. I. 626. D: *δοκεῖς γάρ μοι τῆς θεοῦ ἐπωνυμίας ἄξιος εἶναι μᾶλλον ἐπονομάζεσθαι.* IV. 713. A: *εἴπερ τοῦ τοιούτου τὴν πόλιν ἔδει ἐπονομάζεσθαι.* V. 738. B. Crat. 413. E: *ὡς ἐν μάχῃ ἐπονομαζομένης τῆς ἀνδρείας.* Legg. VIII. 844. E: *τὰ γενναῖα σῦκα ἐπονομαζόμενα.* Crat. 420. A: *ὅθεν πόθος ἐπωνόμασται.* Legg. I. 644. D. Crat. 404. B: *τό γε ὄνομα ὁ Ἅιδης ... πολλοῦ δεῖ ἀπὸ τοῦ ἀειδοῦς ἐπωνομάσθαι.* 414. A.

Phaedr. 238. A: *ἐπιθυμίας ... τῇ ἀρχῇ ὕβρις ἐπωνομάσθη.* Soph. 263. E: *πλὴν ὁ ... διάλογος ... τοῦτ' αὐτὸ ἡμῖν ἐπωνομάσθη.* Pol. IV. 445. D: *ἐπονομασθείη δ' ἂν καὶ διχῇ.* Crat. 419. C: *ἥ τε λύπη ἀπὸ τῆς διαλύσεως τοῦ σώματος ἔοικεν ἐπονομασθῆναι.* B: *ἐπονομασθὲν δημιῶδες.* Legg. VIII. 828. C: *ὅσους ... θεοὺς οὐρανίους ἐπονομαστέον.*

ἐποπτεύω, *specto.* Legg. XII. 951. D: *εἰς τὸν σύλλογον ἴτω τὸν τῶν περὶ νόμους ἐποπτευόντων.* Praec. ponitur in rerum sacrarum spectatione. Ep. VII. 333. E: *ἐκ τοῦ ... μυεῖν καὶ ἐποπτεύειν.* Phaedr. 250. C: *ὁλόκληρα ... καὶ εὐδαίμονα φάσματα μυούμενοί τε καὶ ἐποπτεύοντες ἐν αὐγῇ καθαρᾷ.*

ἐπόπτης, ὁ, *spectator.* Locr. 105: *τοῖς ἐπόπταις τῶν ἀνθρωπίνων.*

ἐποπτικός, ή, όν, *pertinens ad rerum sacrarum vel arcanarum spectationem;* quae quum altissimus initiationis gradus esset, *τὸ ἐποπτικὸν* in summo quoque ponitur. Conv. 209. E: *τὰ δὲ τέλεα καὶ ἐποπτικὰ ... οὐκ οἶδ' εἰ οἷός τ' ἂν εἴης* (int. *μυηθῆναι*).

ἐπορέγομαι, *appeto.* Theaet. 186. A: *ὧν αὐτὴ ἡ ψυχὴ καθ' αὑτὴν ἐπορέγεται.* Pol. IV. 437. C: *ἐπορεγομένην αὐτοῦ τῆς γενέσεως.* VI. 486. A: *ἐπορέξεσθαι.*

ἔπος, τό, *verbum.* Legg. IX. 879. C: *ἔργῳ τε καὶ ἔπει.* Soph. 217. D: *ἔπος πρὸς ἔπος ποιεῖσθαι τὴν συνουσίαν.* Pol. VI. 494. E: *οὐ πᾶν μὲν ἔργον, πᾶν δ' ἔπος λέγοντάς τε καὶ πράττοντας.* De dict. *ὡς ἔπος εἰπεῖν* vid. p. 631 sq. Ut *λόγος*, etiam in re de qua agitur ponitur. Phil. 18. D: *τί πρὸς ἔπος αὖ ταῦτ' ἐστίν;* Euthyd. 295. C: *ἐὰν μηδὲν πρὸς ἔπος ἀποκρίνωμαι.* **carmen*, inprimis heroum s. epicum. Prot. 338. E: *περὶ ἐπῶν δεινὸν εἶναι.* 347. C. Phaedr. 252. B: *ἐκ τῶν ἀποθέτων ἐπῶν.* Ion. 533. E: *πάντες ... οἵ τε τῶν ἐπῶν ποιηταὶ οἱ ἀγαθοὶ* cet. Pol. II. 379. B: *ἐάν τέ τις αὐτὸν ἐν ἔπεσι ποιῇ, ἐάν τε ἐν μέλεσιν, ἐάν τε ἐν τραγῳδίᾳ.* X. 607. A. Men. 95. A: *ἐν ποίοις ἔπεσιν; ΣΩ. Ἐν τοῖς ἐλεγείοις* cet. Phaedr. 241. E: *ὅτι ἤδη ἔπη φθέγγομαι, ἀλλ' οὐκέτι διθυράμβους.* Pol. III. 396. E: *περὶ τὰ τοῦ Ὁμήρου ἔπη.* De lucri cup. 228. B. Eryx. 403. D. Hipp. min. 368. C: *καὶ ἔπη καὶ τραγῳδίας καὶ διθυράμβους.* Ion. 534. C: *ἔπη ... ἰάμβους.* 535. B. **versus herous.* De lege 319. D: *τοῦτο γὰρ σημαίνει τὸ ἔπος τὸ* cet. Pol. III. 386. C: *ἀπὸ τοῦδε τοῦ ἔπους ἀρξάμενοι.* 393. A: *μέχρι ... τούτων τῶν ἐπῶν.* Legg. VII. 810. E: *ποιηταὶ ... ἐπῶν ἑξαμέτρων ... καὶ τριμέτρων* cet. Ion. 538. E. Pol. X. 602. B: *ἐν ἰαμβείοις καὶ ἐν ἔπεσι.* Lys. 214. B. Hipp. min. 365. B. 369. E. Phaedr. 252. B: *λέγουσι ... δύο ἔπη εἰς τὸν Ἔρωτα.* Crat. 392. B. Legg. III. 682. A. Hipp. min. 365. B. Ion. 530. C. 537. A.

ἐπουράνιος, ὁ ἡ, *coelestis*. Phaedr. 256. D: *τῆς ἐπουρανίου πορείας*. Apol. 19. B: *ζητῶν ... τὰ ἐπουράνια*.

ἐπουρίζω, *impello*. Alc. II. 147. A. (e poët.).

ἐποχετεύω, *irrigo*. Critia 117. B: *τὸ ... ἀποῤῥέον ... ἐπὶ τοὺς ἔξω κύκλους δι' ὀχετῶν ... ἐπωχέτευον*. * *infundo*. Gorg. 493. E: *ὁ ... ἕτερος πληρωσάμενος μήτ' ἐποχετεύοι* cet. Med. *haurio, recipio*. Phaedr. 251. E: *ἐποχετευσαμένη ἵμερον*.

ἔποψ, ὁ, *upupa*. Phaed. 85. A: *οὐδὲ ... ὁ ἔποψ*.

ἐπόψασθαι, *inspicere*. Legg. XII. 947. C: *οὓς ἂν οἱ προσήκοντες τοῦ τελευτήσαντος ἐπόψωνται* (sic Par. A. et Flor. a. pro v. *ἐπόψονται*). Soph. 216. B: *φαύλους ἡμᾶς ὄντας ἐν τοῖς λόγοις ἐποψόμενός τε καὶ ἐλέγξων*.

ἔποψις, ἡ, *adspectus*. Pol. VI. 499. D: *πόῤῥω ... ἐκτὸς ὄντι τῆς ἡμετέρας ἐπόψεως*.

ἑπτά, *septem*. Phaed. 58. A: *τοὺς δὶς ἑπτὰ ἐκείνους*. Theaet. 142. E. al.

ἑπταετής, vid. *ἑπτέτης*.

ἑπταετία, ἡ, *septem annorum aetas*. Ax. 366. D: *ὁπόταν ... εἰς τὴν ἑπταετίαν ἀφίκηται*.

ἑπτακαιδεκάπους, ὁ ἡ, *qui* vel *quod est septendecim pedum*. Theaet. 147. D: *μέχρι τῆς ἑπτακαιδεκάποδος* (*δυνάμεως*).

ἑπτακαιεικοσαπλάσιος, α, ον, *septem et viginti partibus maior*. Tim. 35. E: *ἑβδόμην δὲ* (*μοῖραν*) *ἑπτακαιεικοσαπλασίαν τῆς πρώτης*.

ἑπτακόσιοι, αι, α, *septingenti*. Hipp. min. 366. C: *τὰ τρὶς ἑπτακόσια*. E.

ἑπτάπηχυς, ὁ ἡ, *qui est septem cubitorum*. Ep. XIII. 363. A: *χιτώνια τρία ἑπταπήχη*.

ἑπταπλάσιος, α, ον, *septuplus*; unde *ἑπταπλασίῳ*, *septies*. Ep. VII. 332. A: *Δαρείου ... ἑπταπλασίῳ φαυλότερος ἐγένετο*.

ἑπτέτης vel *ἑπταετής*, ὁ, *septennis*. Gorg. 471. C: *παῖδα ὡς ἑπταετῆ* (libri plures *ἑπταέτη* quod ad attic. formam *ἑπτέτη* videtur revocandum esse). Alc. I. 121. E: *ἐπειδὰν ... ἑπτέτεις γένωνται οἱ παῖδες*.

ἐπωβελία, ἡ, *obolus* (qui pro singulis drachmis menstruae usurae loco pendi debebat). Legg. XI. 921. D: *οὗτος τῇ δραχμῇ ἑκάστου μηνὸς ἐπωβελίαν κατατιθέτω*.

ἐπῳδή, ἡ, *cantio, carmen* (vid. *ἐπᾴδω*). Charm. 155. E: (*ὅτι*) *ἐπῳδή ... τις ἐπὶ τῷ φαρμάκῳ εἴη*. Ib. *ἄνευ ... τῆς ἐπῳδῆς οὐδὲν ὄφελος εἴη τοῦ φύλλου*. 156. D. 175. E. Pol. X. 608. A: *ἐπᾴδοντες ... τοῦτον τὸν λόγον ... καὶ ταύτην τὴν ἐπῳδήν*. Charm. 157. D. Pol. IV. 426. B: *οὔτε φάρμακα ... οὐδ' αὖ ἐπῳδαί*. Legg. II. 659. E. Charm. 158. B: *οὐδὲν ἔτι σοι ἔδει οὔτε τῶν Ζαμόλξιδος ... ἐπῳδῶν*. Euthyd. 289. E: *ἔστι γὰρ τῆς τῶν ἐπῳδῶν τέχνης μόριον*.

290. A: *ἡ ... τῶν ἐπῳδῶν ἔχεών τε ... καὶ τῶν ἄλλων θηρίων τε καὶ νόσων κήλησίς ἐστιν.* Pol. II. 364. B: *θυσίαις τε καὶ ἐπῳδαῖς.* Legg. X. 887. D. 906. B: *ἐν εὐκταίαις τισὶν ἐπῳδαῖς.* 909. B. XI. 933. D. Charm. 157. C: *ταῖς τοῦ Θρᾳκὸς ἐπῳδαῖς.* Gorg. 484. A: *καταπατήσας τὰ ἡμέτερα γράμματα καὶ μαγγανεύματα καὶ ἐπῳδὰς* cet. Conv. 202. E: *περὶ τὰς ... τελετὰς καὶ τὰς ἐπῳδὰς* cet. Charm. 157. A: *τὰς δ' ἐπῳδὰς ταύτας τοὺς λόγους εἶναι καλούς.*

ἐπῳδός, ὁ ἡ, *cantionibus* vel *carminibus sanans*, *a malis liberans* al. (vid. *ἐπᾴδω*). Legg. X. 903. B: *ἐπῳδῶν ... προσδεῖσθαί μοι δοκεῖ μύθων ἔτι τινῶν.* Subst. *qui carminibus sanat* cet., et in univ. *qui sanat* (proprie et trop.). Phaed. 78. A: *πόθεν ... τῶν τοιούτων ἀγαθὸν ἐπῳδὸν ληψόμεθα —;* Ib. *ζητοῦντας τοιοῦτον ἐπῳδόν.* Legg. II. 671. A: *ἢ μηδέποτε ἱκανὸν ἐπῳδὸν γίγνεσθαι νέοις πρὸς ἀρετήν.*

ἐπωνυμία, ἡ, *cognomen; denominatio, appellatio, nomen.* Crat. 395. B: *ἡ ... τοῦ ὀνόματος ἐπωνυμία* (*nomen inde ei impositum*). 412. C: *τούτῳ ... τῷ ἀγαστῷ αὕτη ἡ ἐπωνυμία ἐστι, τἀγαθόν.* 416. B: *τῆς διανοίας τις ἔοικεν ἐπωνυμία εἶναι τοῦτο τοὔνομα.* D. Legg. IV. 704. A: *θεῶν ἐπωνυμία* cet. Soph. 225. C: *ἐπωνυμίας οὐθ' ὑπὸ τῶν ἔμπροσθεν ἔτυχεν* cet. 229. D: *ἀξίαν ἐπωνυμίας* (*διαίρεσιν*). Crat. 395. C. Tim. 83. C. Legg. I. 626. D: *τῆς θεοῦ ἐπωνυμίας ἄξιος ... ἐπονομάζεσθαι.* Phaed. 103. B: *ἐπονομάζοντες αὐτὰ τῇ ἐκείνων ἐπωνυμίᾳ.* Phaedr. 238. A: *τὴν αὐτῆς ἐπωνυμίαν ὀνομαζόμενον τὸν ἔχοντα παρέχεται.* C: *ἀπ' αὐτῆς τῆς ῥώμης ἐπωνυμίαν λαβοῦσα.* 246. C: *θνητόν τ' ἔσχεν ἐπωνυμίαν.* 278. C: *οὔτι τῶνδε ἐπωνυμίαν ἔχοντα δεῖ λέγεσθαι τὸν τοιοῦτον.* Phaed. 92. D: *ἔχουσα τὴν ἐπωνυμίαν τὴν τοῦ ὃ ἔστιν.* 102. B. Soph. 267. B: *πρέπουσαν ἐπωνυμίαν ἀποδοῦναί τιν' αὐτῷ.* Crat. 397. C: *κατὰ τὴν τῆς φρονήσεως ἐπωνυμίαν.* 409. C: *τὰ δ' ἄστρα ἔοικε τῆς ἀστραπῆς ἐπωνυμίαν ἔχειν.* 415. D: *ὥστε τὸ ... ἀεὶ ῥέον ἐπωνυμίαν εἴληφε ... τοῦτο τοὔνομα.* Critia 114. A: *οὗ ... πᾶσα ἡ νῆσος ... ἔσχεν ἐπωνυμίαν.* Legg. X. 908. A: *τιμωρίας ἔχων ἐπωνυμίαν φήμην τινά.* Epin. 987. C: *Κρόνου δ' αὐτόν τινες ἐπωνυμίαν φθέγγονται.* Alc. I. 108. D: *τίν' ἀπ' αὐτῶν ἐπωνυμίαν ἡ τέχνη ἔχει.* Tim. 65. B: *τῶν τε ἐπωνυμιῶν ὅσαι τοῖς δρῶσιν αὐτὰ γεγόνασι* cet. Crat. 397. B: *κατὰ προγόνων ἐπωνυμίας.* Parm. 130. E: *ὧν τάδε τὰ ἄλλα μεταλαμβάνοντα τὰς ἐπωνυμίας αὐτῶν ἴσχειν.* Pol. III. 394. A: *τάς τε ἐπωνυμίας τοῦ θεοῦ ἀνακαλῶν.* Tim. 78. E: *τὸν τὰς ἐπωνυμίας θέμενον.* Etiam rem significat alicunde nominatam. Phaedr. 250. E: *θεώμενος αὐτοῦ* (*τοῦ κάλλους*) *τὴν τῇδε ἐπωνυμίαν.*

ἐπώνυμος, ὁ ἡ, *alicunde nominatus.* Legg. VIII. 828. C: *ὧν* (*θεῶν*) *ἂν ἡ φυλὴ ἑκάστη ἐπώνυμος ᾖ.* XII. 969. A: *ἢ ᾧ ἂν θεὸς ἐπώνυμον αὐτὴν ποιήσῃ.*

ἐπωφελῶ, *adiuvo*. Legg. VIII. 843. C: *τὸ δ' ἐπωφελεῖν οὐδαμῇ ἅπαντος*.

ἐρανίζω, *stipem colligo*. Legg. XI. 915. E: *τὸν βουλόμενον ἐρανίζειν φίλον παρὰ φίλοις*.

ἐράνισις, *ἡ*, *stipis collatio*. Legg. XI. 915. E: *περὶ τῆς ἐρανίσεως*.

ἔρανος, *ὁ*, *stipis collatio*, et in univ. *symbola* (vern. *Beitrag*). Conv. 177. C: *τούτῳ ἔρανον εἰςενεγκεῖν*. Legg. XI. 927. C: *ὡς ἔρανον εἰςφέροντα ἑαυτῷ τε καὶ τοῖς αὑτοῦ*. 915. E: *ἐράνων ... πέρι*.

ἐράσμιος, *ὁ ἡ*, *amabilis*. Pol. III. 402. D: *καὶ μὴν τό γε κάλλιστον ἐρασμιώτατον*. Tim. 87. D: *κάλλιστον καὶ ἐρασμιώτατον*. Phaedr. 250. D.

ἐραστής, *ὁ*, *amator*; *sectator*, *studiosus*, *appetens*. Phaedr. 231. A: *ὅτι οὐκ ἐραστὴς ὢν σου τυγχάνω*. 249. E: *ὅτι ταύτης μετέχων τῆς μανίας ὁ ἐρῶν τῶν καλῶν ἐραστὴς καλεῖται*. 253. D: *τιμῆς ἐραστὴς μετὰ σωφροσύνης τε καὶ αἰδοῦς*. 266. B: *τούτων ... ἔγωγε αὐτός τε ἐραστὴς ... τῶν διαιρέσεων καὶ συναγωγῶν* cet. Conv. 173. B: *Σωκράτους ἐραστὴς ὢν ἐν τοῖς μάλιστα τῶν τότε*. 203. C: *φύσει ἐραστὴς ὢν περὶ τὸ καλόν*. al. Phaedr. 228. C: *τοῦ τῶν λόγων ἐραστοῦ*. Pol. III. 403. B: *οὐδὲ κοινωνητέον αὐτῆς (τῆς ἡδονῆς) ἐραστῇ τε καὶ παιδικοῖς ὀρθῶς ἐρῶσί τε καὶ ἐρωμένοις*. Tim. 46. D: *τὸν ... νοῦ καὶ ἐπιστήμης ἐραστήν*. Legg. I. 643. E: *ποιοῦσαν ἐπιθυμητήν τε καὶ ἐραστὴν τοῦ πολίτην γενέσθαι τέλεον*. Prot. 317. C: *ὅτι ἐρασταὶ αὐτοῦ ἀφιγμένοι εἴημεν*. 343. A: *ἐρασταὶ ... τῆς Λακεδαιμονίων παιδείας*. Phaed. 66. E: *οὗ ἐπιθυμοῦμέν τε καί φαμεν ἐρασταὶ εἶναι, φρονήσεως*. Euthyd. 276. D: *οἱ ἐρασταὶ τοῖν ἀνδροῖν*. 303. B. Phil. 23. A: *πρὸς τῶν αὐτῆς (τῆς ἡδονῆς) ἐραστῶν*. Conv. 178. E: *στρατόπεδον ἐραστῶν τε καὶ παιδικῶν*. Alc. II. 151. C. Pol. VI. 501. D: *πότερον μὴ τοῦ ὄντος τε καὶ ἀληθείας ἐραστὰς εἶναι τοὺς φιλοσόφους;* VII. 521. B: *ἐραστὰς τοῦ ἄρχειν*. Men. 70. B: *ἐραστὰς ἐπὶ σοφίᾳ εἴληφεν Ἀλευαδῶν ... τοὺς πρώτους*.

ἐραστός, *ή*, *όν*, *amabilis*. Conv. 204. C: *καὶ γάρ ἐστι τὸ ἐραστὸν τὸ τῷ ὄντι καλὸν καὶ ... μακαριστόν*. Phaedr. 250. D: *καὶ τἄλλα ὅσα ἐραστά*.

ἐργάζομαι, *facio*; *fabricor*, *conficio*, *fingo*; *efficio*; *factito* s. *exerceo*, *laboro*; etiam *committo* vel *perpetro*. Gorg. 518. E: *σὺ νῦν ... ὁμοιότατον τούτῳ ἐργάζει*. 503. E: *τοῦτο ὃ ἐργάζεται*. Crat. 431. C: *εἰκόνας ἐργάζεται καὶ οὗτος*. Conv. 213. D: *θαυμαστὰ ἐργάζεται*. Pol. I. 346. D. X. 606. D: *ὅτι τοιαῦτα ἡμᾶς ἡ ποιητικὴ μίμησις ἐργάζεται*. Legg. X. 886. E: *ὡς δεινὰ ἐργαζόμεθα νομοθετοῦντες ὡς ὄντων θεῶν*. Ion. 535. D: *ὅτι καὶ τῶν θεατῶν τοὺς πολλοὺς ταὐτὰ ταῦτα ὑμεῖς ἐργάζεσθε*. Gorg. 519. C: *τοῦτο ἄτοπον ἐργάζονται πρᾶγμα*. Crat. 429. A: *οἱ μὲν καλλίους τὰς οἰκίας ἐργάζονται, οἱ δὲ*

αἰσχίους. Alc. I. 112. D: ὥστε ... τὰ ἔσχατα σφᾶς αὐτοὺς ἐργάζονται. Apol. 25. C. Phaed. 60. E: μουσικὴν ποίει καὶ ἐργάζου. Hipp. mai. 282. A: εἰ ... τοιαῦτ' ἐργάζοιτο. Legg. II. 665. E: ἀπροθύμως ἂν τοῦτ' ἐργάζοιντο. Pol. II. 371. B: πῶς ἀλλήλοις μεταδώσουσιν ὧν ἂν ἕκαστοι ἐργάζωνται; Prot. 345. E: οὐδὲ αἰσχρά τε καὶ κακὰ ἑκόντα ἐργάζεσθαι. Pol. II. 374. A: ἀδύνατον ἕνα πολλὰς καλῶς ἐργάζεσθαι τέχνας. III. 406. C: ἔργον ... ὃ ἀναγκαῖον ἐργάζεσθαι. IV. 420. E: ἐργάζεσθαι ... τὴν γῆν. 434. A: σκυτοτόμου ... ἔργα ἐργάζεσθαι. Charm. 173. B: οὐδέ γε (int. ταὐτὸν καλῶ) τὸ ἐργάζεσθαι καὶ τὸ ποιεῖν. Hipp. min. 373. D: εἰ δὲ ποιεῖν, οὐ καὶ ἐργάζεσθαί τι (int. ἐστί); Pol. II. 370. B: εἷς ὢν πολλὰς τέχνας ἐργαζόμενος. 374. C. VIII. 553. C: ἐργαζόμενος (*laborans*). Phaed. 94. C: νῦν οὐ πᾶν τοὐναντίον ἡμῖν φαίνεται ἐργαζομένη (ἡ ψυχή); Crat. 390. B: ἐργαζομένῳ ... ἐπιστατεῖν. Conv. 182. E: θαυμαστὰ ἔργα ἐργαζομένῳ. Apol. 34. A: τῷ κακὰ ἐργαζομένῳ τοὺς οἰκείους αὐτῶν. Pol. VI. 495. B: οἱ τὰ μέγιστα κακὰ ἐργαζόμενοι τὰς πόλεις γίγνονται καὶ τοὺς ἰδιώτας. Conv. 220. A: πρὸς ... τὰς τοῦ χειμῶνος καρτερήσεις ... θαυμάσια εἰργάζετο τά τε ἄλλα cet. Pol. II. 380. B. Men. 91. D: ὃς οὕτω περιφανῶς καλὰ ἔργα εἰργάζετο. 93. D. Perf. et medio et passivo sensu frequentatur. Hipp. mai. 282. D: ὅσον ἀργύριον εἴργασμαι ἐγώ (ut Lat. *pecuniam facere*). Prot. 340. D: κακὸν ἄρα μοι εἴργασται. Crat. 390. B: εἴτ' εὖ εἴργασται εἴτε μή. 439. B: εἰ πρεπόντως εἴργασται. Legg. II. 668. E. 669. B. Hipp. mai. 295. D. Gorg. 517. A: οἷα τούτων ὃς βούλει εἴργασται. 521. E: πολλὰ ὑμᾶς καὶ κακὰ ὅδε εἴργασται ἀνήρ. Hipp. mai. 282. D: πλέον ἀργύριον ἀπὸ σοφίας εἴργασται. Apol. 39. C: νῦν ... τοῦτο εἴργασθε οἰόμενοι cet. Hipp. mai. 282. E: ἐμὲ πλείω χρήματα εἰργάσθαι ἢ cet. Gorg. 522. D: μήτε περὶ θεοὺς ἄδικον μηδὲν μήτε εἰρηκὼς μήτε εἰργασμένος. Pol. X. 615. D: ἄλλα δὴ πολλά τε καὶ ἀνόσια εἰργασμένος. Apol. 28. D: ἐγὼ ... δεινὰ ἂν εἴην εἰργασμένος ... εἰ cet. Polit. 286. E: εἴδωλον ... πρὸς τοὺς ἀνθρώπους εἰργασμένον ἐναργῶς. Crat. 433. C: ουδὲ καλῶς εἰργασμένον τοὔνομα. Tim. 76. D. Hipp. mai. 300. D: ἀνδρὶ πλεῖστον ἀργύριον εἰργασμένῳ. Phaed. 108. B: ἢ ἄλλ' ἄττα τοιαῦτα εἰργασμένην. Legg. XII. 947. D: θήκην ... εἰργασμένην εἶναι cet. Crat. 390. B: ὃς ... εἰργασμένον γνοίη cet. 431. D: ὥστε τὰ μὲν καλῶς εἰργασμένα ἔσται τῶν ὀνομάτων, τὰ δὲ κακῶς. Pol. II. 381. A: τὰ εὖ εἰργασμένα. Polit. 288. B: προβολῆς ... ἕνεκα ξυμπάντων αὐτῶν εἰργασμένων. 281. E: ὧν μὴ παραγενομένων οὐκ ἄν ποτε ἐργασθείη τὸ προστεταγμένον ἑκάστῃ τῶν τεχνῶν. 287. E: παντοδαπὸν εἶδος ἐργασθέν. Pol. I. 353. A: ὡς δρεπάνῳ τῷ ἐπὶ τούτῳ (al. τοῦτο) ἐργασθέντι. Polit. 279. E: τοῖς ... ἐργασθεῖσιν ἀμυντηρίοις. Hipp. mai.

282. E: *πλέον ἢ πεντήκοντα ... μνᾶς εἰργασάμην.* 300. D. Hipp. min. 368. C: *ἃ αὐτὸς εἰργάσω.* Pol. II. 377. E: *ὡς Οὐρανός τε εἰργάσατο* cet. Hipp. mai. 282. B: *χρήματα πολλὰ εἰργάσατο.* Pol. V. 450. A: *οἷον ... εἰργάσασθε ἐπιλαβόμενοί μου!* Phaedr. 244. B: *πολλὰ δὴ καὶ καλὰ ... τὴν Ἑλλάδα εἰργάσαντο.* Lach. 179. C: *ὅσα ἐν πολέμῳ εἰργάσαντο.* Legg. II. 664. A: *τί πείσας μέγιστον ἀγαθὸν ἐργάσαιτο ἂν πόλιν.* Gorg. 517. B: *μή ποτέ τις τῶν νῦν ἔργα τοιαῦτα ἐργάσηται.* Crat. 416. C: *ὅσα ... ἂν νοῦς τε καὶ διάνοια ἐργάσηται.* Conv. 213. D. Legg. X. 868. E: *(ἐὰν) γυνὴ ἑαυτῆς ἄνδρα ταὐτὸν τοῦτο ὡσαύτως ἐργάσηται.* Hipp. mai. 283. B: *ὃς ἂν πλεῖστον ἀργύριον ἐργάσηται.* Pol. III. 391. D: *δεινὰ καὶ ἀσεβῆ ἐργάσασθαι.* X. 597. B: *ἣν φαῖμεν ἂν ... θεὸν ἐργάσασθαι.* Apol. 32. D: *ὥστε ἄδικόν τι ἐργάσασθαι.* Eryx. 403. E: *πρὸς τὸ οἰκίαν ἐργάσασθαι.* Conv. 179. C: *τοῦτ᾽ ἐργασαμένη τὸ ἔργον.* Legg. III. 686. C: *θαυμαστὰ ἂν ἐργασάμενον (πρᾶγμα).* Conv. 179. C: *πολλῶν πολλὰ καὶ καλὰ ἐργασαμένων.* Tim. 21. D: *διὰ ... φθορὰν τῶν ἐργασαμένων.* Crit. 53. A: *τί ἀγαθὸν ἐργάσει σαυτὸν* cet. Hipp. min. 372. E: *πολὺ ... μεῖζόν με ἀγαθὸν ἐργάσει* cet. Pol. I. 353. E: *εἰ τῇ οἰκείᾳ ... ἀρετῇ τὸ αὐτῶν ἔργον εὖ ἐργάσεται τὰ ἐργαζόμενα.* IV. 421. C: *τά τε ἔργα πονηρότερα ἐργάσεται.* Hipp. mai. 284. B: *πλεῖστα ἐργάσεται χρήματα.* Pol. II. 372. A: *θέρους ... τὰ πολλὰ γυμνοὶ ... ἐργάσονται.* V. 474. A: *ὡς θαυμάσια ἐργασομένους.*

ἐργαλεῖον, τό, *instrumentum.* Polit. 281. C: *τὰς τῶν ἐργαλείων δημιουργὰς τέχνας.* Eryx. 401. C. 403. E: *τὰ ἐργαλεῖα.*

ἐργασία, ἡ, *confectio, effectio* (s. *comparatio*); *tractatio; opus; negotium.* Gorg. 450. C: *τῶν μὲν (τεχνῶν) ἐργασία τὸ πολύ ἐστι* cet. Pol. III. 401. A: *ἡ τῶν ἄλλων σκευῶν ἐργασία.* Prot. 312. D: *ποίας ἐργασίας ἐπιστατής;* Theaet. 146. D: *ἐπιστήμην ὑποδημάτων ἐργασίας.* E. Polit. 280. E. Pol. II. 371. B: *τῆς περὶ τὴν θάλατταν ἐργασίας.* III. 406. D: *τῆς ... προκειμένης ἐργασίας ἀμελοῦντα.* IV. 438. D: *ἐπειδὴ οἰκίας ἐργασίας ἐπιστήμη ἐγένετο.* Charm. 163. B: *ἀλλὰ καὶ ἐκεῖνος ... ποίησιν πράξεως καὶ ἐργασίας ἄλλο ἐνόμιζε.* 173. E: *ἀλλὰ χαλκοῦ ἐργασίας;* Ion. 540. D: *περὶ ἐρίων ἐργασίας.* De lege 316. E: *περὶ κήπων ἐργασίας.* Polit. 280. A: *ἐπὶ τῇ τῶν ἱματίων ἐργασίᾳ.* Pol. III. 399. A: *ἐν πάσῃ βιαίῳ ἐργασίᾳ (ὄντος ἀνδρείου).* Legg. II. 667. C: *τῇ τῶν ὁμοίων ἐργασίᾳ.* Euthyd. 281. A: *ἐν τῇ ἐργασίᾳ ... τῇ περὶ τὰ ξύλα.* Ib. *ἐν τῇ περὶ τὰ σκεύη ἐργασίᾳ.* Prot. 353. D: *κατὰ τὴν αὐτῆς τῆς ἡδονῆς ... ἐργασίαν.* Gorg. 449. D: *περὶ τὴν τῶν ἱματίων ἐργασίαν.* Eryx. 404. C: *πρὸς ἀγαθοῦ τινὸς ἐργασίαν.* Conv. 205. C: *ὥστε καὶ αἱ ὑπὸ πάσαις ταῖς τέχναις ἐργασίαι ποιήσεις εἰσί.* Theaet. 170. B: *διδασκάλους ... τῶν τε*

ἐργασιῶν. Eryx. 403. E. Charm. 163. C: *ἐργασίας τε καὶ πράξεις τὰς τοιαύτας ποιήσεις (ἐκάλει).* Eryx. 404. B: *πρός τινας ἐργασίας πραγμάτων μοχθηρῶν, τὰς δὲ χρηστῶν.*

ἐργάσιμος, ὁ ἡ, *qui cultus est* et *qui coli potest.* Legg. XII. 958. D: *χωρίων ὁπόσα μὲν ἐργάσιμα μηδαμοῦ.* I. 639. A: *ἐν ἐργασίμοις χωρίοις.* VII. 824.

ἐργαστικός, ή, όν, *conficiens; operarius*; fem. *ars conficiendi* et simpl. *confectio.* Polit. 259. E: *ἀρχιτέκτων ... οὐκ αὐτὸς ἐργαστικός, ἀλλ' ἐργατῶν ἄρχων.* 280. E: *ἐρεοῦ προβλήματος ἐργασικήν.* 281. A: *τήν γε ... στήμονος ἐργαστικήν.*

ἐργάτης, adi. *laboriosus.* Pol. VIII. 554. A: *τῷ γε φειδωλὸς εἶναι καὶ ἐργάτης* (v. *ἐργαστής*). Euthyd. 281. C: *οὐκοῦν καὶ ἀργὸς μᾶλλον ἢ ἐργάτης.* Subst. *operarius*, pl. *operae.* Polit. 259. E: *ἐργατῶν ἄρχων.* 260. A.

ἐργατικός, ή, όν, *laboriosus.* Men. 81. D: *ὅδε δὲ ἐργατικοὺς* (v. *ἐργαστικοὺς*) *τε καὶ ζητητικοὺς ποιεῖ.*

ἔργμα, τό, i. q. *ἔργον.* Eryx. 397. E. (Archil.).

ἐργολάβος, ὁ, *redemtor.* Pol. II. 373. E: *ἐργολάβοι σκευῶν τε παντοδαπῶν δημιουργοί.*

ἔργον, τό, *opus; negotium; munus.* Phaedr. 272. B: *καίτοι οὐ σμικρόν γε φαίνεται ἔργον.* Gorg. 517. C: *ὅπερ μόνον ἔργον ἐστὶν ἀγαθοῦ πολίτου.* Soph. 217. B: *οὐ σμικρὸν οὐδὲ ῥάδιον ἔργον.* 235. A. Crat. 390. D: *τέκτονος ... ἔργον ἐστὶ ποιῆσαι πηδάλιον* cet. Conv. 187. E: *μέγα ἔργον ... καλῶς χρῆσθαι.* 188. E: *σὸν ἔργον ... ἀναπληρῶσαι.* Pol. I. 335. D: *οὐ γὰρ θερμότητος ... ἔργον ψύχειν, ἀλλὰ τοῦ ἐναντίου.* III. 406. C: *ὅτι πᾶσι τοῖς εὐνομουμένοις ἔργον τι ἑκάστῳ ἐν τῇ πόλει προστέτακται.* VII. 537. D: *καὶ ἐνταῦθα δὴ πολλῆς φυλακῆς ἔργον* (*opus est*). Tim. 26. A: *ὅπερ ἐν ἅπασι τοῖς τοιοῖσδε μέγιστον ἔργον.* 28. C: *τὸν ... ποιητὴν ... τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον* cet. Gorg. 450. D: *καὶ ἔργου ... ἢ οὐδενὸς προςδέονται ἢ βραχέος πάνυ.* Euth. 14. A: *ὅτι πλείονος ἔργου ἐστὶν ἀκριβῶς ταῦτα πάντα ... μαθεῖν.* Crat. 388. C: *τῷ τίνος ... ἔργῳ ὁ ὑφάντης καλῶς χρήσεται —;* 390. B: *τίς ... ὁ τῷ τοῦ λυροποιοῦ ἔργῳ χρησόμενος;* Prot. 335. B: *ἡγησάμενος οὐκέτι ἐμὸν ἔργον εἶναι παρεῖναι ἐν ταῖς συνουσίαις.* Phaedr. 232. A: *ἔργον τοῦτο ποιουμένους.* Parm. 136. D: *πολὺ ἔργον ... προστάττεις ὡς τηλικῷδε.* Pol. I. 332. E: *πρὸς τί ἔργον δυνατώτατος φίλους ὠφελεῖν —;* II. 369. B: *οὐκ ὀλίγον ἔργον αὐτὸ εἶναι.* VI. 494. E: *πᾶν ... ἔργον ... πράττοντας.* 511. C: *δοκεῖς γάρ μοι συχνὸν ἔργον λέγειν.* VII. 531. D: *ἀλλὰ πάμπολυ ἔργον λέγεις.* Tim. 27. A: *περὶ φύσεως τοῦ παντὸς εἰδέναι μάλιστα ἔργον πεποιημένον.* 29. D: *πλέον ἂν ἔργον ... παράσχοι.* Soph. 266. C: *δύο ... ἐστὶ ταῦτα θείας ἔργα ποιήσεως.* Men. 97. E: *πάνυ γὰρ καλὰ τὰ ἔργα ἐστί.* Soph. 235. E: *ὅσοι γε τῶν μεγάλων πού τι πλάττουσιν ἔργων ἢ γράφουσιν.* Pol. III. 401. C:

ἀπὸ τῶν καλῶν ἔργων. Critia 115. D: *μεγέθεσι κάλλεσί τε ἔργων.* Phil. 56. C: *ἐν τοῖς ἔργοις ἐλάττονος ἀκριβείας μετισχούσας.* Tim. 19. C: *κατά τε τὰς ἐν τοῖς ἔργοις πράξεις* cet. Gorg. 514. C: *ἰέναι ἐπὶ τὰ δημόσια ἔργα.* Soph. 223. D: *τὴν ... τὰ ἀλλότρια ἔργα μεταβαλλομένην.* Polit. 280. D: *ὅσαι ... περὶ τὰς κλοπὰς ... διακωλυτικὰ ἔργα παρέχονται.* Crat. 429. B: *οἱ μὲν καλλίω τὰ ἔργα αὐτῶν παρέχονται, οἱ δὲ αἰσχίω.* Conv. 191. C: *(ἵνα) ἐπὶ τὰ ἔργα τρέποιντο.* Pol. III. 413. C: *προθεμένοις ἔργα* cet. VIII. 559. C. **inceptum, actio; res gesta* (pl. *opera*); etiam *facinus*. Pol. IX. 574. E: *οὔτε τινὸς φόνου δεινοῦ ἀφέξεται ... οὔτ' ἔργου.* Conv. 188. C: *ἐν παντὶ ἔργῳ.* Crit. 50. A: *τούτῳ τῷ ἔργῳ ᾧ ἐπιχειρεῖς* cet. Lach. 183. C: *ἐν αὐτῷ τῷ ἔργῳ.* Prot. 325. D: *παρ' ἕκαστον καὶ ἔργον καὶ λόγον διδάσκοντες* cet. Conv. 179. C: *τοῦτ' ἐργασαμένη τὸ ἔργον.* 217. E: *Σωκράτους ἔργον ὑπερήφανον.* Menex. 241. A: *ὅτι τὸ ἑξῆς ἔργον τοῖς Μαραθῶνι διεπράξαντο.* C: *τρίτον ... λέγω τὸ ἐν Πλαταιαῖς ἔργον* cet. 242. B. Pol. II. 378. A: *τὰ ... τοῦ Κρόνου ἔργα καὶ πάθη ὑπὸ τοῦ υἱέος* cet. Tim. 23. C: *ἣ κάλλιστα ἔργα ... γενέσθαι ... λέγονται.* Pol. VI. 496. E: *ἀνοσίων ἔργων.* VIII. 549. A: *ἀπὸ ἔργων τῶν τε πολεμικῶν καὶ τῶν περὶ τὰ πολεμικά.* Menex. 236. E: *ἔργων ... εὖ πραχθέντων.* 237. B: *τὴν τῶν ἔργων πρᾶξιν.* Pol. VII. 540. A: *ἐν ἔργοις τε καὶ ἐπιστήμαις.* Legg. III. 683. E: *περιτυχόντες ... ἔργοις γενομένοις.* Phaedr. 245. A: *μυρία τῶν παλαιῶν ἔργα κοσμοῦσα.* Conv. 178. D: *μεγάλα καὶ καλὰ ἔργα ἐξεργάζεσθαι.* 182. E: *θαυμαστὰ ἐργαζομένῳ.* 209. E: *πολλὰ καὶ καλὰ ἀποφηνάμενοι ἔργα.* Pol. II. 380. A: *ἢ οὐ θεοῦ ἔργα ἐατέον αὐτὰ λέγειν* cet. Legg. VI. 777. C: *(περὶ) τὰ ... παντοδαπὰ κλοπῶν ἔργα τε καὶ παθήματα.* VII. 801. E: *ἔργα ἐξειργασμένοι καλὰ καὶ ἐπίπονα.* *in univ. est *res*, i. q. *πρᾶγμα* (vern. *die Sache*); etiam id quod nos dicimus *Wirklichkeit* vel *That* (ut *ἔργῳ*, *re*, praecipue si *λόγῳ* opponitur). Legg. I. 647. D: *μετὰ λόγου καὶ ἔργου.* Phaedr. 240. E: *ἔργῳ* (opp. *λόγῳ*). 272. A. Phaed. 71. B. Theaet. 173. A. Soph. 234. C: *ἀποτελεῖν ἔργῳ.* 246. D: *ἔργῳ βελτίους αὐτοὺς ποιεῖν.* Conv. 182. C: *ἔργῳ ... τοῦτο ἔμαθον καὶ οἱ ἐνθάδε τύραννοι.* Pol. II. 382. E: *ἔν τε ἔργῳ καὶ ἐν λόγῳ.* 383. A. V. 473. A: *καὶ τῷ ἔργῳ ... γιγνόμενα ἀποφαίνειν.* VI. 492. D: *ἣν ἔργῳ προστιθέασι λόγῳ.* 498. E: *ἔργῳ τε καὶ λόγῳ.* Tim. 68. D. Critia 106. A. Legg. I. 626. A: *τῷ ... ἔργῳ.* VI. 769. E: *ἔργῳ καὶ λόγοις.* IX. 879. C: *ἔργῳ τε καὶ ἔπει.* Crit. 52. D: *ἔργῳ, ἀλλ' οὐ λόγῳ.* Menex. 244. A: *οὐ λόγῳ, ἀλλ' ἔργῳ.* Ax. 369. A: *δῆλον δὲ τοῖς ἐν τῷ ἔργῳ γενομένοις.* Crat. 413. E: *αὐτὸ μηνύει τὸ ἔργον τοὔνομα ἡ ἀνρεία* (v. *ἀνρία*). Charm. 165. D: *τὴν ... ὑγίειαν καλὸν ἡμῖν ἔργον ἀπεργάζεται.* Ep. VII. 354. B: *φεύγειν ... τοὔνομά τε καὶ τοὔργον τοῦτο.* Pol.

III. 389. D: ἐάν γε (al. ἐάνπερ) ... ἐπί γε λόγῳ ἔργα τελῆται. Lach. 193. E: τὰ ... ἔργα οὐ ξυμφωνεῖ ἡμῖν τοῖς λόγοις. Prot. 352. A: ἤ πρὸς ἄλλο τι τῶν τοῦ σώματος ἔργων. Soph. 234. E: ἀνατετράφθαι τὰ ἐν τοῖς λόγοις φαντάσματα ὑπὸ τῶν ἐν ταῖς πράξεσιν ἔργων παραγενομένων. Pol. V. 463. E: εἰ ἄνευ ἔργων οἰκεῖα ὀνόματα διὰ στομάτων μόνον φθέγγοιντο. Gorg. 461. D: καὶ ἐν ἔργοις καὶ ἐν λόγοις. Pol. III. 396. A: καὶ ἐν λόγοις καὶ ἐν ἔργοις. Phaed. 100. A: ἐν τοῖς ἔργοις (opp. ἐν τοῖς λόγοις). Tim. 19. E: χαλεπὸν μὲν ἔργοις, ἔτι δὲ χαλεπώτερον λόγοις εὖ μιμεῖσθαι. Legg. III. 679. D: λόγοις ἔργοις τε μεμηχανημέναι πάσας μηχανὰς cet. IV. 717. D: ἐάν τ' ἐν λόγοις ἐάν τ' ἐν ἔργοις δρῶσι τὸ τοιοῦτον. X. 907. D: λόγοις εἴτ' ἔργοις. Crat. 427. C: ὡς ἀφομοιῶν τοῖς γράμμασι τὰ ἔργα. Legg. XI. 934. C: ὑπογράφειν ἔργα ἑπόμενα τῇ γραφῇ. Ep. VII. 343. C: λόγῳ τε καὶ κατ' ἔργα.

ἔργω, *includo*. Polit. 285. B: σύμπαντα τὰ οἰκεῖα ἐντὸς μιᾶς ὁμοιότητος ἕρξας (sic codd. pro v. ἔρξας). Ion. 539. B: ἐέργων (Hom.) est *pellens*.

ἐργώδης, ὁ ἡ, *difficilis*. Ep. IX. 357. E: καὶ γὰρ οὐδὲ παντελῶς ἦν ἐργώδη.

ἕρδω et ἔρδω, *facio*. Prot. 345. D: ὅστις ἕρδῃ μηδὲν αἰσχρόν (Simon.). Alc. II. 149. D: ἕρδειν ... ἑκατόμβας (Hom.). Euth. 12. A: ἕρξαντα (poët.).

ἐρέβινθος, ὁ, *cicer*. Pol. II. 372. C: ἐρεβίνθων καὶ κυάμων.

ἔρεβος, τό, *locus tenebricosus*. Ax. 371. E: ἐπ' ἔρεβος καὶ χάος. Unde ἔρεβόςδε. Ion. 539. A. (Hom.).

ἐρεθίζω, *irrito*, *lacesso*. Pol. III. 393. E: μὴ ἐρεθίζειν. Eryx. 392. B: ἐάν τις κατὰ σμικρὸν ἐρεθίζων ὀργίσῃ. Pol. III. 411. C: ἀπὸ σμικρῶν ταχὺ ἐρεθιζόμενον. Tim. 89. B: τὰ γὰρ νοσήματα ... οὐκ ἐρεθιστέον φαρμακείαις. D.

ἐρείδω, *fulcio*, *infigo*, *defigo*; *illido*. Tim. 91. E: εἰς γῆν ... ἤρεισαν. Phaedr. 254. E: τὰ ἰσχία πρὸς τὴν γῆν ἐρείσας. Tim. 43. E: ἐρείσας τὴν κεφαλὴν ... ἐπὶ γῆς. 54. E: τὰς ... πλευρὰς εἰς ταὐτὸν ὡς κέντρον ἐρεισάντων. Locr. 97. E: ἁ γᾶ ἐρήρεισται ἐπὶ τᾶς αὐτᾶς ῥοπᾶς. 98. E: ἠρεισμένα.

ἐρείκω, *frendo*. Crat. 426. E: θραύειν, ἐρείκειν cet.

ἔρεισμα, τό, *fulcimentum*. Legg. VII. 793. C: οἷον τεκτόνων ἐν οἰκοδομήμασιν ἐρείσματα ἐκ μέσου ὑποῤῥέοντα cet.

ἐρεοῦς, ᾶ, οῦν, *laneus*. Polit. 280. E: ἐρεοῦ προβλήματος ἐργαστικήν. Crat. 389. B: ἱματίῳ ... λινῷ ἢ ἐρεῷ cet. Polit. 281. C: περὶ τὴν ἐρεᾶν ἐσθῆτα. 283. A.

ἐρέσθαι, *quaerere*, *interrogare*. Pol. I. 327. C: ἠρόμην ὅπου αὐτὸς εἴη. 330. B. Legg. II. 662. D: ὅπερ οὖν ἠρόμην. Phaedr. 247. A: γελοῖον ἤρου. Soph. 237. C: χαλεπὸν ἤρου. Polit. 271. C. Prot. 311. B: εἴ τίς σε ἤρετο. Pol. I. 332. C. Gorg. 447. C: ἐροῦ αὐτόν. Riv. 136. E.

Conv. 199. E: *εἰ γὰρ ἐροίμην* cet. Pol. I. 341. E: *εἴ με ἔροιο.* 337. A. Prot. 312. D: *εἴ τις ἔροιτο ἡμᾶς.* Conv. 192. D. Prot. 354. A: *αὐτοὺς τὸ ἐναντίον εἰ ἐροίμεθα.* Legg. II. 662. C. D. Crit. 50. A: *εἰ ... ἔροιντο.* Gorg. 447. C: *τί ἔρωμαι;* Crat. 399. C. Alc. I. 112. E. Phaedr. 275. D: *ἐὰν δέ τι ἔρῃ τῶν λεγομένων* cet. Prot. 355. C: *ἐὰν ... τις ἡμᾶς ἔρηται διὰ τί* cet. Pol. VII. 538. D. Riv. 135. A: *βούλεσθε ... ἐρώμεθα ταυτὶ τὰ μειράκια;* Prot. 329. A: *οὐδὲν ἔχουσιν οὔτε ἀποκρίνασθαι οὔτε αὐτοὶ ἐρέσθαι.* Conv. 199. B: *πάρες μοι Ἀγάθωνα σμίκρ' ἄττα ἐρέσθαι.* Crat. 407. E: *ἔτι γε ἓν ἐρόμενός σε περὶ Ἑρμοῦ.* Pol. VIII. 544. A: *ἐμοῦ ἐρομένου.* al. Pol. IX. 576. D: *οὐκ ἐρήσομαι ... ὁποτέραν λέγεις.* Apol. 29. E. Alc. I. 114. A. Pol. VI. 497. C: *δῆλος ... εἶ ὅτι μετὰ τοῦτο ἐρήσει* cet. Alc. I. 113. E. Prot. 355. C: *ἐκεῖνος ἐρήσεται ἡμᾶς.* Hipp. mai. 288. A. Lys. 216. A: *ἐρήσονται.* Pol. VII. 531. B: *οὓς ἔφαμεν ... περὶ ἁρμονίας ἐρήσεσθαι.* Ion. 538. A. De lucri cup. 231. C.

ἐρέσσω, *remigo.* Hipp. min. 370. B. (Hom.).

ἐρεσχηλῶ, *ludo* (vern. *necken*). Phil. 53. E: *ὁ λόγος ἐρεσχηλεῖ* (v. *ἐρεσχελεῖ*) *νῷν.* Phaedr. 236. B: *ἐρεσχηλῶν* (v. *ἐρεσχελῶν*) *σε.* Legg. X. 885. C: *ταῦτα τάχ' ἂν ἐρεσχηλοῦντες* (v. *ἐρεσχελ.*) *εἴποιεν.* Pol. VIII. 545. E: *παιζούσας καὶ ἐρεσχηλούσας.*

ἐρέτης, ὁ, *remex.* Alc. I. 125. C: *ἆρα κελευστῶν χρωμένων ἐρέταις;*

ἐρετικός, ή, όν, *ad remos pertinens;* fem. *ars remigandi, remigatio.* Legg. IV. 707. A: *διὰ κυβερνητικῆς ... καὶ ἐρετικῆς* cet.

ἐρευνῶ, *indago, quaero.* Apol. 23. B: *ζητῶ καὶ ἐρευνῶ κατὰ τὸν θεόν.* Theaet. 200. E: *τοῦτο ἐὰν ἰόντες ἐρευνῶμεν.* Legg. XII. 968. C. 954. A: *ἐρευνᾶν βουλομένῳ.* Charm. 166. B: *ἐπ' αὐτὸ ἥκεις ἐρευνῶν.* Apol. 41. B: *τοὺς ἐκεῖ ἐξετάζοντα καὶ ἐρευνῶντα.* Legg. VII. 821. B: *τὰς αἰτίας ἐρευνῶντας.* Pass. Legg. XII. 954. B: *τιμησάμενον τὸ ἐρευνώμενον.* Med. Theaet. 174. A: *πᾶσαν ... φύσιν ἐρευνωμένη* cet.

ἐρέψιμος, ὁ ἡ, *tectis idoneus.* Critia 111. C: *δένδρων ... ἐρεψίμων.*

ἐρημία, ἡ, *solitudo; inopia* (quod ponitur in eo qui ab amicis, parentibus, opibus al. destitutus est); etiam *oblivio.* Legg. I. 635. A: *οὐκοῦν ἡμῖν τὰ νῦν ἐρημία ... νέων —;* XI. 927. A: *οἱ τῶν ὀρφανῶν τῆς ἐρημίας αἰσθήσεις ἔχουσιν.* Phaedr. 236. C: *ἐσμὲν ... μόνω ἐν ἐρημίᾳ.* Conv. 217. B. Pol. X. 604. A. Legg. III. 694. E: *ἐν ἀνδρῶν ἐρημίᾳ.* VIII. 830. C: *ἐν ἐρημίᾳ συγγυμναστῶν.* Ep. IV. 321. B. Phaedr. 232. D: *εἰς ἐρημίαν φίλων καθιστᾶσιν.* Pol. VI. 495. E: *διὰ πενίαν καὶ ἐρημίαν τοῦ δεσπότου.* IX. 578. E. Legg.

III. 677. E: *μυρίαν μέν τινα φοβερὰν ἐρημίαν.* V. 730. C. Hipp. mai. 295. A: *εἰς ἐρημίαν ἐλθών.* Ep. VIII. 353. E: *ἥξει ... σχεδὸν εἰς ἐρημίαν τῆς Ἑλληνικῆς φωνῆς Σικελία πᾶσα.*

ἔρημος, ὁ ἡ, *solus, desertus; carens, vacuus; orbus.* Phaed. 58. C: *ἔρημος ἐτελεύτα φίλων;* Legg. IV. 716. B: *καταλείπεται ἔρημος θεοῦ.* V. 729. E. X. 908. A: *ἔρημος ... τόπος.* (Fem. *ἐρήμη* ponitur in *δίκη*, h. e. *vadimonio deserto*, quum quis reum absentem s. qui vadimonium deseruit, accusat. Apol. 18. C: *ἀτεχνῶς ἐρήμην κατηγοροῦντες.*). Phil. 63. B: *μόνον καὶ ἔρημον ... τι γένος.* Gorg. 523. E: *ἔρημον πάντων τῶν συγγενῶν.* Phil. 16. B: *πολλάκις δέ με ... ἔρημον καὶ ἄπορον κατέστησεν.* Tim. 34. B: *οὐρανὸν ἕνα μόνον ἔρημον κατέστησε.* Legg. XI. 927. D: *καί τινα πατρὸς ἢ μητρὸς ἔρημον ἀδικῶν.* Ep. VII. 732. C. Pol. VI. 495. C: *ἔρημον καὶ ἀτελῆ φιλοσοφίαν λείποντες.* Legg. IV. 704. C: *τὴν χώραν ταύτην ἔρημον ἀπείργασται.* IX. 862. E: *ποιοῦντες ... ἀνδρῶν κακῶν ἔρημον τὴν πόλιν.* XI. 926. E: *ἔρημον πατέρων γενομένην.* Pol. V. 453. A: *ἵνα μὴ ἔρημα τὰ τοῦ ἑτέρου λόγου πολιορκῆται.* Phaed. 112. E: *δι' ἐρήμων ... τόπων.* Polit. 298. B: *καταλείποντες ... ἐρήμους.* Legg. XI. 918. E: *εἰς ἐρήμους ... τόπους.* X. 908. C: *θεῶν ἔρημα εἶναι πάντα.* XI. 927. C: *εἰς ὀρφανὰ καὶ ἔρημα ὑβρίζουσι.*

ἐρημῶ, *desero, destituo.* Legg. IX. 865. E: *ἐρημῶσαι πάντας τοὺς οἰκείους τόπους ξυμπάσης τῆς πατρίδος.* Tim. 66. E: *τὸ ... πνεῦμα τῶν ὀσμῶν ἐρημωθέν.*

ἐρίβωλος, ὁ ἡ, *ferax.* Crit. 44. B. et Hipp. min. 370. C. (Hom.).

ἐρίζω, *litigo, rixor.* Prot. 337. B: *ἐρίζουσι δὲ οἱ διάφοροί τε καὶ ἐχθροὶ ἀλλήλοις.* Lys. 207. C: *οὐκοῦν καὶ ὁπότερος γενναιότερος, ἐρίζοιτ' ἄν —;* Prot. 337. B: *ἀλλήλοις ... ἀμφισβητεῖν μέν, ἐρίζειν δὲ μή.* Conv. 173. E: *οὐκ ἄξιον περὶ τούτων ... νῦν ἐρίζειν.* Pol. V. 454. A: *οὐκ ἐρίζειν, ἀλλὰ διαλέγεσθαι.* Riv. 132. A. Prot. 343. D: *ὥσπερ ἐρίζοντα λέγειν.* Pol. III. 395. D: *πρὸς θεοὺς ἐρίζουσαν.* Riv. 132. A: *ἐρίζοντε.*

ἐριννύς, ἡ, *furia.* Ep. VIII. 357. A: *εἰ μὴ ξενικαὶ ἐριννύες ἐκώλυσαν.*

ἔριον, τό, *lana.* Conv. 175. D: *τὸ ... ὕδωρ τὸ διὰ τοῦ ἐρίου ῥέον.* Pol. III. 398. A: *ἐρίῳ στέψαντες.* (Crat. 389. B: *ἐρίῳ* scribebatur pro *ἐρεῷ*). Polit. 279. B: *περὶ τὰ ἐκ τῶν ἐρίων ὑφάσματα.* Charm. 173. E. Ion. 540. C: *περὶ ἐρίων ἐργασίας.* Polit. 282. C: *ἐν ἐρίοις.* Pol. II. 370. E: *δέρμασί τε καὶ ἐρίοις.* IV. 429. D: *βάψαι ἔρια.* Lys. 208. D.

ἔρις, ἡ, *lis, rixa; contentio; disputatio.* Legg. VIII. 834. D: *ὥστε ἔστω καὶ τούτων παιδιᾶς χάριν ἔρις τε καὶ ἀγωνία.* Menex. 237. C: *ἡ τῶν ἀμφισβητησάντων περὶ αὐτὴν θεῶν*

ἔρις τε καὶ κρίσις. Soph. 237. B: ἔριδος ἕνεκα. Riv. 133. A: παυσαμένῳ τῆς ἔριδος. Pol. V. 454. A: ἔριδι, οὐ διαλέκτῳ πρὸς ἀλλήλους χρώμενοι. Polit. 268. E: τὸ περὶ τὴν Ἀτρέως τε καὶ Θυέστου λεχθεῖσαν ἔριν φάσμα. Pol. II. 379. E: θεῶν ἔριν. VI. 499. A. Critia 109. B: οὐ κατ' ἔριν. Legg. V. 736. C. VI. 776. C. D: ἐλάττω ... ἔριν ἂν ἔχοι. VII. 788. D. Hipp. mai. 294. D: ἔριν καὶ μάχην. Soph. 225. E: ἀπὸ τῶν ἰδιωτικῶν ἐρίδων χρηματιζόμενον. Phil. 49. A: μεστὸν ἐρίδων. Tim. 88. A: δι' ἐρίδων. Critia 109. B.

ἐριστικός, ή, όν, *ad contentionem aptus*, *contendendi studiosus*; c. λόγος, *litigiosus*, *captiosus*; fem. et neutr. *ars verbis disputandi*, *contentio*. Lys. 211. B: ἢ οὐκ οἶσθα ὅτι ἐριστικός ἐστι; Sis. 388. D: εἰ δέ σοι οὗτος ὁ λόγος ἐριστικὸς εἶναι δοκεῖ cet. Soph. 226. A: ἐριστικῆς ὂν τέχνης. Euthyd. 272. B: τῆς σοφίας ... τῆς ἐριστικῆς. Soph. 225. C: τοῦ ... ἐριστικοῦ. Men. 81. E: τούτῳ τῷ ἐριστικῷ λόγῳ. Ib. τοῦτον ὡς ἐριστικὸν λόγον κατάγεις. Soph. 231. E: τὴν ἐριστικὴν τέχνην ἀφωρισμένος. 225. C: τὸ ... ἔντεχνον, καὶ περὶ δικαίων αὐτῶν καὶ ἀδίκων ... ἀμφισβητοῦν, ἆρ' οὐκ ἐριστικὸν αὖ λέγειν εἰθίσμεθα; Men. 75. C: τῶν ἐριστικῶν τε καὶ ἀγωνιστικῶν. Pol. VI. 499. A: τὰ ... ἐριστικά.

ἐριστικῶς, *litigiosa ratione*. Phil. 17. A: τό τε διαλεκτικῶς ... καὶ τὸ ἐριστικῶς ἡμᾶς ποιεῖσθαι πρὸς ἀλλήλους τοὺς λόγους. Pol. V. 454. B: πάνυ ἀνδρείως τε καὶ ἐριστικῶς.

ἕρκειος, ὁ, *penetralis*. Euthyd. 302. D: Ζεὺς ... ἕρκειος δὲ καὶ φράτριος.

ἑρκοθηρικός, ή, όν, *ad piscatum septis peragendum pertinens*. Soph. 220. C: τοῦτο ... ἑρκοθηρικὸν τῆς ἄγρας τὸ μέρος φήσομεν ἤ τι τοιοῦτον.

ἕρκος, τό, *septum*. Soph. 220. C: ὅτι πᾶν ὅσον ἂν ἕνεκα κωλύσεως εἴργῃ τι περιέχον, ἕρκος εἰκὸς ὀνομάζειν. 220. B: ἕρκεσιν. C: ἕρκη.

ἕρμα, τό, *columen*. Legg. V. 737. A: τοῦτο ... οἷον ἕρμα πόλεως ἡμῖν κείσθω τὰ νῦν. **scopulus* (cui navis illiditur). Pol. VIII. 553. B: ἐξαίφνης πταίσαντα ὥσπερ πρὸς ἕρματι πρὸς τῇ πόλει.

ἕρμαιον, τό, *quod quis forte fortuna invenit*, *exoptatum*, *in lucro ponendum*. Phaed. 107. C: ἕρμαιον ἂν ἦν τοῖς κακοῖς ἀποθανοῦσι ... ἀπηλλάχθαι. Conv. 176. B: ἕρμαιον ἂν εἴη ἡμῖν ... εἰ cet. Pol. II. 368. D: ἕρμαιον ἂν ἐφάνη ... ἐπισκοπεῖν τὰ ἐλάττω. Legg. XI. 932. A: τοῖς ... ἀγαθοῖς ἕρμαιον πρόγονοι γηραιοί. Charm. 157. C. Gorg. 486. E: οἶμαι ... τοιούτῳ ἑρμαίῳ ἐντετυχηκέναι. 489. B: ἕρμαιον τοῦτο ποιούμενος. Conv. 217. A: ἕρμαιον ἡγησάμην εἶναι καὶ εὐτύχημα ἐμὸν θαυμαστόν. Theag. 127. B. Euthyd. 273. E: πόθεν τοῦτο τὸ ἕρμαιον εὑρέτην; 295. A.

ἑρμηνεία, ἡ, *interpretatio*, *explanatio*. Theaet. 209. A: λόγος ... ἦν ἡ τῆς σῆς διαφορότητος ἑρμηνεία. Epin. 984.

B: *τῆς ἑρμηνείας αἴτιον*. Pol. VII. 524. B: *αὗταί γε ἄτοποι τῇ ψυχῇ αἱ ἑρμηνεῖαι.*

ἑρμηνεύς, *ὁ*, *interpres*. Legg. X. 907. D: *τῶν νόμων ἑρμηνεύς (λόγος)*. Crat. 407. E: *τὸ ἑρμηνέα εἶναι καὶ τὸ ἄγγελον* cet. Phil. 16. A. Ion. 530. C. Theaet. 163. C: *οἵ τε γραμματισταὶ ... καὶ οἱ ἑρμηνεῖς*. Ion. 534. E: *οἱ δὲ ποιηταὶ οὐδὲν ἀλλ' ἢ ἑρμηνεῖς εἰσὶ τῶν θεῶν*. 535. A: *οὐκοῦν ἑρμηνέων ἑρμηνεῖς γίγνεσθε;*

ἑρμηνευτής, *ὁ*, *interpres*. Polit. 290. C: *ἑρμηνευταὶ ... νομίζονται παρὰ θεῶν ἀνθρώποις.*

ἑρμηνευτικός, *ή*, *όν*, *ad interpretationem pertinens*; fem. *ars interpretandi*. Epin. 975. C. *οὐδὲ μαντική γε οὐδ' ἑρμηνευτική*. Defin. 414. D. Ib. *σημεῖόν τι κοινὸν ἑρμηνευτικὸν ἄνευ μέλους*. Polit. 260. D: *ἑρμηνευτικῇ*.

ἑρμηνεύω, *interpretor*; *explico*. Ion. 535. A: *οὐκοῦν ὑμεῖς ... τὰ τῶν ποιητῶν ἑρμηνεύετε;* Legg. XII. 966. B: *λόγῳ ... ἑρμηνεύειν*. Ion. 535. A. Conv. 202. E: *ἑρμηνεῦον*. Pol. V. 453. C: *ἑρμηνεῦσαι*. Ep. VIII. 355. A: *ἐγὼ ... ἑρμηνεύσω ἃ* cet. Med. Epin. 985. B: *ἑρμηνεύεσθαι (δαίμονας) πρὸς ἀλλήλους τε καὶ τοὺς ... θεοὺς πάντας τε καὶ πάντα.*

ἑρμογλυφεῖον, *τό*, *statuarii officina*. Conv. 215. A: *ἐν τοῖς ἑρμογλυφείοις.*

ἑρπνοῦν, i. e. *τερπνόν*. Crat. 419. D.

ἕρπω, *serpo*. Ax. 367. E. (Hom.).

ἔῤῥω, *pereo*, *evanesco*. Phil. 24. D: *αὐτὰ ἔῤῥει ταῦτα ἐκ τῆς αὐτῶν χώρας*. Ep. VII. 349. E: *ὅτι Δίωνι τὰ χρήματα ἔῤῥει παντελῶς*. Legg. III. 677. C: *πάντα ἔῤῥειν ταῦτα ἐν τῷ τότε χρόνῳ*. E: *ζώων ... τῶν ἄλλων ἐῤῥόντων*. Ep. VIII. 355. D: *ἔῤῥουσι*. III. 319. C: *πόλεις Ἑλληνίδας ἐῤῥούσας.*

ἐῤῥωμένος, *η*, *ον*, *validus*, *fortis*; *firmus*. Phaedr. 268. A: *καὶ μάλ' ἐῤῥωμένην (δύναμιν)*. Pol. VI. 491. D: *ὅσῳ ἂν ἐῤῥωμενέστερον ᾖ*. Conv. 181. C: *τὸ φύσει ἐῤῥωμενέστερον ... ἀγαπῶντες*. Gorg. 483. C: *τοὺς ἐῤῥωμενεστέρους τῶν ἀνθρώπων*. Clit. 409. A: *ὁ ... δοκῶν αὐτῶν ἐῤῥωμενέστατος εἶναι*. Phaed. 100. A: *ὃν (λόγον) ἂν κρίνω ἐῤῥωμενέστατον εἶναι*. Pol. V. 477. E: *πασῶν γε δυνάμεων ἐῤῥωμενεστάτην*. Legg. X. 894. C. Tim. 89. E: *τὸ δ' ἐν γυμνασίοις (διάγον) ἐῤῥωμενέστατον*. Gorg. 483. E: *τοὺς βελτίστους καὶ ἐῤῥωμενεστάτους ἡμῶν αὐτῶν.*

ἐῤῥωμένως, *fortiter*; *vehementer*; *firme*. Phaedr. 238. C: *ἐῤῥωμένως ῥωσθεῖσα*. Theaet. 179. D. Conv. 221. B: *ὅτι ... μάλα ἐῤῥωμένως ἀμυνεῖται*. Pol. I. 352. C. II. 361. D. Hipp. mai. 287. A: *ἵνα ἐῤῥωμενέστερον μάθω*. Pol. III. 401. D: *ἐῤῥωμενέστατα ἅπτεται αὐτῆς (τῆς ψυχῆς).*

ἐρυθριῶ, *erubesco*. Lys. 204. C: *ἀστεῖόν γε ... ὅτι ἐρυθριᾷς*. D: *ἐρυθριᾷ*. Eryx. 395. C: *ἐρυθριῶν*. Pol. I. 350. D: *τότε καὶ εἶδον ἐγὼ ... Θρασύμαχον ἐρυθριῶντα.*

Riv. 134. B: ὁ δ' ἕτερος ἠρυθρίασε. Lys. 204. B. C. al. Prot. 312. A: ἐρυθριάσας.

ἐρυθρός, ά, όν, ruber. Tim. 80. E: ἡ ... ἐρυθρὰ ... χρόα. 68. B: ἐρυθρὸν ... μέλανι ... κραθέν. Ib. ἐρυθρῷ ... μιγνύμενον. Critia 116. A: τὸν δὲ (λίθον) ἐρυθρὸν ὄντα. Tim. 68. B: τὸ ... πυρὸς γένος ... τοὔνομα ἐρυθρὸν λέγομεν. 83. B: χρῶμα ἔσχεν ἐρυθρώτερον (v. ἐρυθρότερον). Epin. 987. C: ἐρυθρώτατον ἔχει χρῶμα.

ἔρυμα, τό, munimentum. Legg. III. 681. A: τειχῶν ἐρύματα.

ἐρύομαι, defendo. Crat. 392. E. (Hom.).

ἐρυσίβη, ἡ, rubigo. Pol. X. 609. A: σίτῳ ... ἐρυσίβην. Ax. 368. C. Conv. 188. B: ἐρυσίβαι.

